NOVUM

TESTAMENTUM

GRAECE.

AD

CODICES MOSQUENSES UTRIUSQUE BIBLIOTHECAE SS. SYNODI ET TABULARII IMPERIALIS, ITEM AUGUSTANOS, DRESDENSES, GOETTINGENSES, GOTHANOS, GUELPHERBYTANOS, LANGERI, MONACHIENSES, LIPSIENSES, NICEPHORI ET ZITTAIENSEM, ADHIBITIS PATRUM GRAECORUM LECTIONIBUS, EDITIONIBUS N. TESTAMENTI PRINCIPIBUS ET DOCTORUM VIRORUM LIBELLIS CRITICIS, ITERUM RECENSUIT, SECTIONES MAIORES ET MINORES EUSEBII, EUTHALII ET ANDREAE CAESARIENSIS NOTAVIT,

PRIMUM QUOQUE NUNC

LECTIONES ECCLESIASTICAS

EX USU

ECCLESIAE GRAECAE DESIGNAVIT

AC

SYNAXARIA EVANGELIARII

ET

PRAXAPOSTOLI

ADDIDIT

ET

CRITICIS INTERPOSITIS ANIMADVERSIONIBUS

EDIDIT

CHRISTIANUS FRIDERICUS DE MATTHAEI.



TOM. II. CONTINENS ACTUS APOSTT. ET EPISTT. CATHOLL.

CURIAE VARISCORUM. ANNO MDCCCIV.
APUD GODOFREDUM ADOLPHUM GRAU.

AUGUSTISSIMO

ET

POTENTISSIMO

PRINCIPI ET DOMINO

ALEXANDRO I

IMPERATORI

ET

AUTOCRATORI

ROSSORUM OMNIUM

ETC. ETC. ETC.

SUMMAE

E I U S

AC

R E G A L I S

LIBERALITATIS ET MUNIFICENTIAE

CAUSSA

HOC

NOVI TESTAMENTI GRAECI

VOLUMEN SECUNDUM.

PRO DOCUMENTO

GRATI, PII ET DEVOTI ANIMI SUI

CUM

MAXIMA, RELIGIOSISSIMA ET PERPETUA VENERATIONE

CONSECRAT

WITTENBERGAE
DIE 26. JUNII
1804.

CHRISTIAN. FRIDER. DE MATTHAEI.

ʿΑι

Π ρ ά ξ ε ι ς

τ ῶ ν ἁ γ ί ω ν

ἀ π ο ς ό λ ω ν. cap. 1.

A. περὶ τῆς ἐξ ἀναςάσεως διδασκαλίας χριςοῦ καὶ ὀπτασίας πρὸς τοὺς μαθητὰς, καὶ περὶ ἐπαγγελίας τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς, θείας τε καὶ τρόπου τῆς ἀναλήψεως τοῦ χριςοῦ, καὶ περὶ τῆς ἐνδόξου δευτέρας αὐτοῦ παρουσίας.

A. I, 1. [ʼΑρχή.] Τὸν μὲν πρῶτον λόγον ἐποιησά-
μην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ
2. ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς
ἡμέρας, ἐντειλάμενος τοῖς ἀποςόλοις διὰ
πνεύ-

I, 1. A. τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ πάσχα καὶ τῇ ε. τῆς ἀναλήψεως· τὸν μὲν πρῶτον λόγον.

I, 1. Orig. IV, 6. hunc librum Lucae tribuens et initium notans omittit, ὦ Θεόφιλε et τε. Magis etiam statim a principio corruptionibus innotescunt Cod. Wetst. D. et Latinistae. Sed istas nugas nec Griesb. probare potuit. Multa notatu digna de actibus disputat Chrys. III, 54. 63. 65. 85. 88. 89. 102. 764. 766. Volumine autem IX. data opera interpretatur. Hic liber in re critica est difficillimus et impeditissimus, quod multa in eo turbata sunt. Sed corruptiones versionum Syrarum, Bedae et scribae Codicis D. omnem modum excedunt. Etenim ad ludibrium, et lectorum, et litterarum sacrarum excogitatae sunt.

πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη.
οἷς καὶ παρέςησεν ἑαυτὸν ζῶντα μετὰ τὸ 3.
παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμε-
ρῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ
λέγων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ.
καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς, ἀπὸ 4.
ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμέ-
νειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς, ἣν ἠκούσα-
τέ μου. ὅτι ἰωάννης μὲν ἐβάπτισεν ὕδα- 5.
τι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι
ἁγίῳ ου μετὰ πολλὰς ταύτας ἡμέρας.
οἱ μὲν ὄυν συνελθόντες ἐπηρώτων αὐτὸν, λέ- 6.
γοντες· κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀπο-
καθιςάνεις τὴν βασιλείαν τῷ ἰσραήλ; εἶπε 7.
δὲ πρὸς αὐτούς· οὐχ ὑμῶν ἐςι γνῶναι χρό-
νους ἢ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ
ἐξου-

3. λέγων] ex Orig. I, 434. possis colligere, eum legisse καταγγέλλων.

4. συναλιζόμενος] συναυλιζόμενος. E. Chrys. cum aliis tum alibi probat vulg., tum VIII, 467. 522. IX, 7. 10. Ex eo est etiam interpretatio, ἁλῶν καὶ τραπέζης κοινωνεῖν VIII, 79. quae nititur 10, 41. Sic et Ps. 140, 4. ubi Symm. habet συμφάγοιμι, alius habet συναλισθῶ. Ab hoc verbo prorsus differt graecis usitatum ἁλίζειν *congregare* seu συναθροίζειν, ut explicat Schol. Theocrit. VII, 34. v. Polyaen. p. 49. 67. De etymologia huius vocis v. Plat. in Cratyl. p. 57. Notum est etiam ἡ ἁλία, conventus, concio populi. Sic occurrit etiam συναλίζεσθαι, quod temere etiam permutatum est cum συναυλιζόμενος apud Plutarch. Vide meas lectiones Mosquenses Vol. II, p. 69.

παρήγγειλεν] παρήγγελλε. E.

8. ἐξουσίᾳ· ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόν-
τος τοῦ ἁγίου πνεύματος ἐφ᾽ ὑμᾶς, καὶ
ἔσεσθέ μοι μάρτυρες ἔν τε ἱερουσαλὴμ καὶ
ἐν πάσῃ τῇ ἰουδαίᾳ καὶ σαμαρείᾳ καὶ ἕως
9. ἐσχάτου τῆς γῆς. [Τέλος.] καὶ ταῦτα Τέλος τῆς μεγάλης κυριακῆς.
εἰπὼν, βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη
ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.
10. καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν, πο-
ρευομένου αὐτοῦ, καὶ ἰδοὺ, ἄνδρες δύο παρει-
11. στήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ, οἳ καὶ
εἶπον· ἄνδρες γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέ-
ποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ ἰησοῦς ὁ ἀνα-
ληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως
ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πο-
B. 12. ρευόμενον εἰς τὸν οὐρανόν. τότε [Ἀρχή.]
ὑπέστρεψαν εἰς ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ
καλου.

I, 12. B. τῇ β. τῆς διακαινησίμου καὶ αὐγούστου θ. ἐν ταῖς ἡμέραις ἐκείναις ὑπέστρεψαν οἱ ἀπόστολοι εἰς ἱερουσαλήμ.

8. ἐν πάσῃ] ἐν — E. Orig. III, 465. ἔσεσθέ μοι — καὶ πάσῃ. IV, 88. ἔσεσθέ μου — καὶ ἐν πάσῃ. Omissum ἐν notavit, servatum non notavit Griesb. Sic ergo lectores decipiuntur. Quid vero ex Orig. efficitur? Nihil. De Cyrillo altum est silentium apud Griesb. qui tamen multa multis in locis ex his octo prioribus versibus laudat.

11. ἐμβλέποντες] βλέποντες. E. Utrumque Chrys. IX, 18. οὕτως] οὗτος. E. Errore frequente scribarum. Differte aliquoties vulg. Chrys. IX, 18. XI, 606. ut alios brevitatis caussa mittam.

12. ὑπέστρεψαν] + οἱ ἀπόστολοι. E. v. Birch. Wetst. Ex lectionariis, quae nulla integra ante me a quoquam comparata sunt.

καλουμένου ἐλαιῶνος, ὅ ἐςιν ἐγγὺς ἱερουσα-
Τέλος τῆς λὴμ, σαββάτου ἔχον ὁδόν. [Τέλος.] καὶ 13.
ἀναλήψεως. ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷόν, οὗ
ἦσαν καταμένοντες, ὅ,τε πέτρος καὶ ἰάκω-
βος, καὶ ἰωάννης, καὶ ἀνδρέας, φίλιππος καὶ
θωμᾶς, βαρθολομαῖος καὶ ματθαῖος, ἰάκω-
βος ἀλφαίου, καὶ σίμων ὁ ζηλωτὴς, καὶ
ἰούδας ἰακώβου. οὗτοι πάντες ἦσαν προσ- 14.
καρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ
τῇ δεήσει, σὺν γυναιξὶ, καὶ μαρίᾳ τῇ μητρὶ
τοῦ ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ.

B. πέτρου διάλογος πρὸς τοὺς μαθητευθέντας περὶ θανάτου καὶ ἀποβολῆς ἰούδα τοῦ προδότου· ἐν ᾧ περὶ ἀντεισαγωγῆς ματθίου, κληρωθέντος χάριτι θεοῦ διὰ προσευχῆς.

καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναςὰς πέτρος 15.
ἐν μέσῳ τῶν μαθητῶν, εἶπεν· ἦν τε ὄχλος
ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσι·
ἄνδρες ἀδελφοὶ, ἔδει πληρωθῆναι τὴν γραφὴν 16.
ταύτην, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ
ςόματος δαυὶδ περὶ ἰούδα τοῦ γενομένου ὁδη-
γοῦ τοῖς συλλαβοῦσι τὸν ἰησοῦν· ὅτι κατη- 17.
ριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆ-
Ὑπέρβα εἰς ρον τῆς διακονίας ταύτης. [Ὑπέρβα.]
τὸ τῆς β.

οὗτος

14. καὶ τῇ δεήσει] — E. Homines elegantes, iidemque κριτικοὶ καὶ ἐντοριкοὶ, hoc deleverunt. v. Eph. 6, 18. Phil. 4, 6. Nullus bonus Cod. omittit, nec ex iis, quos post priorem editionem meam examinavi.

16. ἔδει] δεῖ. E. Vulg. etiam Orig. IV, 457. bis. Sed bis omittit ταύτην.

18. οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ * μισθοῦ
τῆς ἀδικίας, καὶ πρηνὴς γενόμενος ἐλάκησε
μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα
19. αὐτοῦ, καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατ-
οικοῦσιν ἱερουσαλὴμ, ὥστε κληθῆναι τὸ χωρίον
ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν ἀκελδαμὰ,
20. τουτέστι, χωρίον αἵματος. γέγραπται γὰρ
ἐν βίβλῳ ψαλμῶν· γενηθήτω ἡ ἔπαυλις
αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐ-
τῇ. καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.
21. [Ἄρξου.] δεῖ οὖν τῶν συνελθόντων ἡμῖν ἀν- Ἄρξου τῆς
δρῶν ἐν παντὶ χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ ἐξ- β.
22. ῆλθεν ἐφ' ἡμᾶς ὁ κύριος ἰησοῦς, ἀρξάμε-
νος ἀπὸ τοῦ βαπτίσματος ἰωάννου ἕως τῆς
ἡμέρας, ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα
της ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα
23. τούτων. καὶ ἔστησαν δύο, ἰωσὴφ τὸν καλού-
μενον βαρσαβᾶν, ὃς ἐπεκλήθη ἰοῦστος, καὶ
ματ-

18. τοῦ μισθοῦ] τοῦ —. In proxima, ſeu tertia editione, Griesb. verſus 18. 19. et 20. uncis includet.

πρηνὴς — ἐλάκησε] πρησθεὶς — ἐλάκισε. E. v. Euthym. I, 1084. 1085. Πρησθεὶς ortum credo ex ridicula narratione Papiae, quam Apolinarius ad nos propagavit. Caeterum λακίζειν per ſe non eſt abſurdum. Euſeb. Praep. Evang. 774. a. τὰ λακισθέντα διαῤῥιπτεῖται ῥάκη.

19. ἀκελδαμὰ] Ita omnes graeci Codd. Qui vero ex Vulgata pendent, ἀκελδαμάχ, aut ἀχελδαμάχ. Haud dubie hoc quoque nomen proprium pro more ſuo mutaverat Orig. quem ſequitur Hieron.

20. λάβοι] λαβέτω. E. Chryſ. IX, 24. V, 244. unde in aliquos venit.

ματθίαν. καὶ προσευξάμενοι εἶπον· σὺ 24.
κύριε καρδιογνῶςα πάντων, ἀνάδειξον * ὃν
ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα, λαβεῖν 25.
τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποςο-
λῆς, ἐξ ἧς παρέβη ἰούδας, πορευθῆναι εἰς τὸν
τόπον τὸν ἴδιον. καὶ ἔδωκαν κλήρους αὐτῶν, 26.
καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ ματθίαν, καὶ συγ-
κατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποςόλων.

Τέλος τῆς β. [Τέλος.]

Γ. περὶ θείας τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσεως, ἐν ἡμέρᾳ πεντηκοςῆς γενομένης εἰς τοὺς πιςεύσαντας· ἐν ᾧ πέτρου κατήχησις περὶ τοῦ αὐτοῦ ἐκ τῶν προφητῶν, περὶ πάθους καὶ ἀναςάσεως καὶ ἀναλήψεως *χριςοῦ, δωρεᾶς τε τοῦ ἁγίου πνεύματος, περὶ πίςεως τῶν παρόντων καὶ τῆς διὰ τοῦ βαπτίσματος αὐτῶν σωτηρίας, περὶ ὁμονοίας κοινωφελοῦς καὶ προσθήκης τῶν πιςευόντων.

cap. 2.

Καὶ [Ἀρχή.] ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέ- II, 1. Δ.
ραν τῆς πεντηκοςῆς, ἦσαν ἅπαντες ὁμοθυ-
μαδὸν

II. 1. Δ. κυριακῇ τῆς ἁγίας πεντηκοςῆς· ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς — ἅπαντες οἱ ἀπόςολοι ὁμ.

24. ἀνάδειξον ἐκ τούτων τῶν δύο ἕνα, ὃν ἐξελέξω] ἀνάδειξον ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα.

25. λαβεῖν] λαχεῖν. E. Chryf. IX, 28. fed antea vulg. κλῆρον] τόπον. E. Ex proximo, τόπον τὸν ἴδιον.

26. αὐτῶν] αὐτοῖς. E. Sic Chryf. 28. fed antea vulg. Qui nondum ipfi Codices examinarunt, eos rogo, ut faltem hoc caput examinent in edit. Wetft. et Griesb. ut videant, quot nugae fint prolatae ex non nullis Codicibus, quas nec Griesbachius, minus vero etiam Wetftenius probavit. Hoc uno modo difcitur, quid iudicandum fit de certis Codicibus.

II. 1. ἅπαντες] πάντες 1 — E. Omittit fcilicet Chryf. IX, 32. Negligenter et varie haec laudat Cyrill.

II.

2. μαδὸν ἐπὶ τὸ αὐτό. καὶ ἐγένετο ἄφνω ἐκ
τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς
βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν
3. καθήμενοι· καὶ ὤφθησαν αὐτοῖς διαμεριζό-
μεναι γλῶσσαι ὡσεὶ πυρὸς, ἐκάθισέ τε ἐφ᾽
4. ἕνα ἕκαςον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαν-
τες πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν
ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου
5. αὐτοῖς ἀποφθέγγεσθαι. ἦσαν δὲ ἐν ἱερου-
σαλὴμ κατοικοῦντες ἰουδαῖοι, ἄνδρες εὐλα-
βεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρα-
6. νόν. γενομένης δὲ τῆς φωνῆς ταύτης, συν-
ῆλθε τὸ πλῆθος καὶ συνεχύθη· ὅτι ἤκουον
εἷς ἕκαςος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐ-
7. τῶν. ἐξίςαντο δὲ * καὶ ἐθαύμαζον, λέγον-
τες πρὸς ἀλλήλους· οὐκ ἰδοὺ πάντες οὗτοί
8. εἰσιν οἱ λαλοῦντες γαλιλαῖοι; καὶ πῶς
ἡμεῖς

II, 393. 448. III, 616. Repetit etiam Chryſ. II, 464. III, 89. XII, 399.

ἅπαντες] + οἱ ἀπόςολοι. E. Ut 1, 12. ex lectionariis.

2. ὅλον] — E. Habet et omittit Chryſ. IX, 33. 34. 35. Pro omiſſo ὅλον ex Wetſt. notat Griesb. etiam Cyrill. Habet I, g. 45. IV, 1096. omittit totum, καὶ ἐπλ. — καθήμ. Habet III, 616. Ubi autem omittat, dic, quaeſo, Griesbache. Scil. II, 448. Nonne vero hoc eſt ludere lectores, tanquam pueros? Quid hic autem ex Chryſ. et Cyrill. efficitur? — Nihil. Ex eodem fonte non nulli ὁμοῦ arripuerunt. Qui vero? Infimi.

3. ἐκάθισε δὲ] καὶ ἐκάθισεν. E. Chryſ. IX, 33. 35.

7. δὲ πάντες] πάντες —. Omittunt etiam poſtea a me examinati. v. Wetſt. Birch.

ἡμεῖς ἀκούομεν ἕκαςος τῇ ἰδίᾳ διαλέκτῳ
ἡμῶν ἐν ᾗ ἐγεννήθημεν; πάρθοι καὶ μῆδοι 9.
καὶ ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν μεσο-
ποταμίαν, ἰουδαίαν τε καὶ καππαδοκίαν,
πόντον καὶ τὴν ἀσίαν, φρυγίαν τε καὶ 10.
παμφυλίαν, ἄιγυπτον, καὶ τὰ μέρη τῆς
λιβύης τῆς κατὰ κυρήνην, καὶ οἱ ἐπιδημοῦν-
τες ῥωμαῖοι, ἰουδαῖοί τε καὶ προσήλυτοι,
κρῆτες καὶ ἄραβες. ἀκούομεν λαλούντων αὐ- 11.
τῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα
Τέλος τῆς ι. τοῦ θεοῦ. [Γέλος] ἐξίςαντο δὲ πάντες καὶ 12.
διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες· τί
ἂν θέλοι τοῦτο εἶναι; ἕτεροι δὲ χλευάζον- 13.
τες ἔλεγον· ὅτι γλεύκους μεμεςωμένοι εἰσί.
[Ἀρχή.] ςαθεὶς δὲ πέτρος σὺν τοῖς ἕνδεκα, 14. E.
ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο
αὐτοῖς· ἄνδρες ἰουδαῖοι καὶ οἱ κατοικοῦντες
ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωςὸν ἔςω,
καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. οὐ γὰρ, 15.
ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν·
ἔςι γὰρ ὥρα τρίτη τῆς ἡμέρας· ἀλλὰ 16.
τοῦτό ἐςι τὸ εἰρημένον διὰ τοῦ προφήτου ἰωήλ·

καὶ

II, 14. E. τῇ γ. τῆς διακαινησίμου· ἐν ταῖς ἡμέραις ἐκεί-
ναις ςαθεὶς πέτρος.

οὗτοι — γαλιλαῖοι;] οἱ λαλοῦντες εἰσὶν ἰουδαῖοι; E.
Cyrill. III, 593. Ibidem et alia mutat.

12. ἄλλος πρὸς ἄλλον] πρὸς ἀλλήλους. E. Chryf. IX,
34. Ergo et Theophyl. Mox Chryf. ib. 34. 36.
τί θέλει τοῦτο εἶναι;

13. χλευάζοντες] διαχλευάζοντες. E. Paullo elegan-
tius. Ergo fic Chryf. l. l.

17. καὶ ἔςαι ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ
θεὸς, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ
πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ
ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσ-
κοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύ-
18. τεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. καί
γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας
μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ
19. πνεύματός μου, καὶ προφητεύσουσι. καὶ
δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ση-
μεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ
20. ἀτμίδα καπνοῦ. ὁ ἥλιος μεταςραφήσεται
εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ
ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ
21. ἐπιφανῆ. καὶ ἔςαι, πᾶς ὃς ἂν ἐπικαλέση-
ται τὸ ὄνομα κυρίου, σωθήσεται. [Τέλος.] Τέλος τῆς γ.
3. 22. [Ἀρχή.] ἄνδρες ἰσραηλῖται, ἀκούσατε τοὺς
λόγους τούτους· ἰησοῦν τὸν ναζωραῖον, ἄνδρα
ἀπὸ τοῦ θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνά-
μεσι καὶ τέρασι καὶ σημείοις οἷς ἐποίησε δι᾽
αὐτοῦ ὁ θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐ-
23. τοὶ οἴδατε, τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ
προγνώσει τοῦ θεοῦ ἔκδοτον λαβόντες, διὰ
24. χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε· ὃν

ὁ

II, 22. 3. τῇ δ. τῆς διακινησίμου· ἐν τ. ἡμ. ἐ. εἶπε πέ-
τρος πρὸς τὸν λαόν· ἄνδρες ἰσραηλῖται.

23. χειρῶν] χειρός. E. v. P. Χειρὸς ex eo ortum, quia
Chryſ. IX, 48. primo de Iuda, deinde de militibus
explicat. Nam ſchol. quod legitur in P. eſt Chryſ.
χειρὸς etiam Cyrill. IV, 403. qui reliqua verſ. 23.
et 24. ſine varietate habet.

ὁ θεὸς ἀνέστησε, λύσας τὰς ὠδῖνας τοῦ θα-
νάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι
αὐτὸν ὑπ' αὐτοῦ. δαυὶδ γὰρ λέγει εἰς αὐ- 25.
τόν· προωρώμην τὸν κύριον ἐνώπιόν μου διὰ
παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σα-
λευθῶ· διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, 26.
καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ
ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι, ὅτι 27.
οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου,
οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.
ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐ- 28.
φροσύνης μετὰ τοῦ προσώπου σου. ἄνδρες 29.
ἀδελφοὶ, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς
ὑμᾶς περὶ τοῦ πατριάρχου δαυὶδ, ὅτι καὶ
ἐτελεύτησε καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ
ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. προ- 30.
φήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ
ὤμοσεν αὐτῷ ὁ θεὸς, ἐκ καρποῦ τῆς ὀσφύος
αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν χρι-
στὸν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ. προ- 31.
ϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ χρι-
στοῦ,

27. ᾅδου] ᾅδην. E.

30. τὸ κατὰ σάρκα ἀναστήσειν τὸν χριστὸν] — E. Nullus meorum omittit, nec ex iis, quos poſtea conſului. Habet etiam Chryſ. Verum, etiam ſi omitteret, tamen id nihil valeret. Omittit enim verſum 26. et verſu 27. οὐδὲ δώσεις ad 28. προσ. σου IX, 49. Noluit enim ſingula verba recenſere. Omittit illa Cyrill. V, d. 19. (aut, ut Wetſt. notat, in Act. Epheſ.) et V, 692. Sic enim 680. ibi corrigendum. Repugnat hic adeo Wetſt. B. ſeu Vat. 1209. Servant etiam alii Latiniſtae apud Sabat.

σοῦ, ὅτι ὀυ κατελείφθη ἡ ψυχὴ ἀυτοῦ ἐις
ἅδου, ὀυδὲ ἡ σὰρξ ἀυτοῦ ἔιδε διαφθοράν.
32. τοῦτον τὸν ἰησοῦν ἀνέςησεν ὁ θεὸς, ὃυ πάν-
33. τες ἡμεῖς ἐσμεν μάρτυρες. τῇ δεξιᾷ ὄυν
τοῦ θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ
ἁγίου πνεύματος λαβὼν παρὰ τοῦ πατρὸς,
ἐξέχεε τοῦτο ὁ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούε-
34. τε. ὀυ γὰρ δαυὶδ ἀνέβη ἐις τοὺς ὀρανούς·
λέγει δὲ ἀυτός· ἔιπεν ὁ κύριος τῷ κυρίῳ μου·
35. κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχ-
36. θρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ἀσφα-
λῶς ὄυν γινωσκέτω πᾶς ὄικος ἰσραὴλ, ὅτι *
καὶ κύριον καὶ χριςὸν ἀυτὸν ὁ θεὸς ἐποίησε,
τοῦτον

31. ὅτι ὀυ] ὅτι ὄυτε. E. Chryf. IX, 49. ὅτι ὄυτε ἡ ψυχὴ ἀυτοῦ ἐγκατελείφθη ἐις ἅδου, ὄυτε. Cyrill. V, d. 19. ὅτι ὄυτε ἐγκατελείφθη — ἐις ἅδην, ὀυθ' ἡ. Ibi et προειδώς. V, a. 692. προϊδὼν — ὅτι ὄυτε ἐγκατ. ἐις ᾅδαν ἡ ψυχὴ ἀυτοῦ, ὄυτε V, c. 127. ὄυτε ἐγκατ. ἐις ᾅδου ἡ ψυχὴ ἀυτοῦ. Probi Codd. nihil varietatis habent.

33. θεοῦ] πατρὸς — τοῦ πνεύματος τοῦ ἁγίου — ὃ ὑμεῖς. E. Cyrill. III, 228. θεοῦ. I, g. 148. θεοῦ — τοῦ ἁγίου πνεύματος — ὃ ὑμεῖς V, d. 170. τῇ δυνάμει τοῦ θεοῦ ὑψωθεὶς VI, a. 174. Quid probi Codices hoc verfu mutant? Nihil.

34. τοὺς ὀυρανοὺς] τὸν ὀυρανόν. E. Cyrill. V, d. 170.

36. ἀσφαλῶς] Apud Oecum. I, 22. bis in fchol. eft ἀκριβῶς.

ὅτι] + καί. Habet ad h. l., omittit vero Chryf. VIII, 20. vide et XII, 7. 25. adde Cyrill. V, a. 533. 599. ubi ὅτι καὶ κύριον ἀυτὸν καί.

χριςὸν ἀυτὸν] ἀυτὸν aliqui exhibent poft κύριον, aliqui poft θεός. E.

Τέλος τῆς δ. τοῦτον τὸν ἰησοῦν ὃν ὑμεῖς ἐςαυρώσατε. [Τέ-
λος.] ἀκούσαντες δὲ κατενύγησαν τῇ καρ- 37.
δίᾳ, εἶπόν τε πρὸς τὸν πέτρον καὶ τοὺς λοι-
ποὺς ἀποςόλους· τί ποιήσομεν, ἄνδρες ἀδελ-
φοί; πέτρος δὲ ἔφη πρὸς αὐτούς· [Ἀρχή.] 38. Ζ.
μετανοήσατε, καὶ βαπτισθήτω ἕκαςος ὑμῶν
ἐπὶ τῷ ὀνόματι ἰησοῦ χριςοῦ εἰς ἄφεσιν
ἁμαρτιῶν· καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου
πνεύματος. ὑμῖν γάρ ἐςιν ἡ ἐπαγγελία καὶ 39.
τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακρὰν,
ὅσους ἂν προσκαλέσηται κύριος ὁ θεὸς ἡμῶν.
ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρετο καὶ 40.
παρεκάλει, λέγων· σώθητε ἀπὸ τῆς γενεᾶς
τῆς σκολιᾶς ταύτης. οἱ μὲν οὖν ἀσμένως 41.
ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθη-
σαν· καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυ-
χαὶ ὡσεὶ τρισχίλιαι. ἦσαν δὲ προσκαρτε- 42.
ροῦντες τῇ διδαχῇ τῶν ἀποςόλων καὶ τῇ
κοινωνίᾳ καὶ τῇ κλάσει τοῦ ἄρτου καὶ ταῖς
προσευχαῖς. ἐγένετο δὲ πάσῃ ψυχῇ φό- 43.
βος,

II, 38. Ζ. τῇ ε. τῆς διακινησίμου· ἐν τ. ἡμ. ἐ. εἶπε πέ-
τρος πρὸς τὸν λαόν· μετανοήσατε.

37. ποιήσομεν] ποιήσωμεν. E. Utrumque Chryf. IX, 55. b. e. Ergo, ut faepius, in eadem pagina.

41. ἀσμένως] — E. Servat Chryf. IX, 56. d. Wetftenius ergo etiam Griesbachius, id negat.

42. προσκαρτεροῦντες] + ὁμοθυμαδόν. E. Chryf. IX, 56. idque etiam urget. Sed 58. omittit. Habent id tres apud Wetft. Ex verf. 46.

ταῖς προσευχαῖς] τῇ προσευχῇ. E. Chryf. IX, 56. e.

43. φόβος] + τῶν πιστευσάντων. E. Chryf. IX, 56. Sed
58.

βος, πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν
44. ἀποςόλων ἐγίνετο. [Τέλος.] πάντες δὲ οἱ Τέλος τῆς ε.
πιςεύοντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαν-
45. τα κοινὰ, καὶ τὰ κτήματα καὶ τὰς ὑπάρ-
ξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι,
46. καθότι ἄν τις χρείαν εἶχε· καθ' ἡμέραν
τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ,
κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον
τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρ-
47. δίας, αἰνοῦντες τὸν Θεὸν καὶ ἔχοντες χά-
ριν πρὸς ὅλον τὸν λαόν. ὁ δὲ κύριος προσετί-
θει τοὺς σωζομένους καθ' ἡμέραν τῇ ἐκ-
κλησίᾳ.

Δ. περὶ τῆς ἐν χριςῷ θεραπείας τοῦ ἐκ γενετῆς χωλοῦ. πέτρου τε κατηχήσεως ἐλεγκτικῆς, συμπαθητικῆς, συμβουλευτικῆς πρὸς σωτηρίαν αὐτῶν· ἐν ᾧ ἐπιςασία τῶν ἀρχιερέων, ζήλῳ τοῦ γεγονότος, καὶ κρίσις τοῦ θαύματος, πέτρου τε ὁμολογία τῆς χριςοῦ δυνάμεώς τε καὶ χάριτος. cap. 3.

H. III, 1. Ἐπὶ τὸ αὐτὸ δὲ [Ἀρχή.] πέτρος καὶ ἰωάν-
νης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς
προσ-

III, 1. H. τῇ ϛ. τῆς διακινησίμου· ἐν τ. ἡμ. ἐ. πέτρος καὶ ἰωάννης.

58. urget πάσῃ. Ergo addit: καὶ τῶν μὴ πιστευσάντων. Sed haec et plura eiusmodi ſunt Chryſoſtomi oratoris, non critici.

44. πιςεύοντες ἦσαν] πιστεύσαντες, omiſſo ἦσαν, et mox καί. Orig. III, 673. Ita et divinus Wetſt. B. ſeu Vat. 1209. Wetſtenius in Origene aliquid, Griesbachius nihil omnino vidit.

47. λαὸν] κόσμον. E. Orig. III, 673. etiam vulg.
τῇ ἐκκλησίᾳ] — ι + ἐπὶ τὸ αὐτό. E. Chryſ. IX, 57.

προσευχῆς τὴν * ἐνάτην. καί τις ἀνὴρ χω- 2.
λὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβα-
ςάζετο· ὃν ἐτίθουν καθ᾽ ἡμέραν πρὸς τὴν
θύραν τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν, τοῦ
αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων
εἰς τὸν ἱερόν· ὃς ἰδὼν πέτρον καὶ ἰωάννην 3.
μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν, ἠρώτα ἐλεη-
μοσύνην. * ἀτενίσας δὲ πέτρος εἰς αὐτὸν 4.
σὺν τῷ ἰωάννῃ, εἶπε· βλέψον εἰς ἡμᾶς·
ὁ

57. repetit poſt hunc verſum: πάντες — ἐπὶ τὸ αὐτό. Ex verſ. 44. Cyrill. I, g. 185. d. ὁ μὲν κύριος προσετίθει τοὺς σωζομένους καθ᾽ ἡμέραν ἐπὶ τὸ αὐτό. Quomodo ergo Wetſt. hunc locum intuitus eſt? v. P.

III, 1. ἐπὶ τὸ αὐτὸ] Hoc lectionaria omittunt. Id ergo meus a. in marg. notat, quod in priore editione omiſſum eſt. Illud autem lectionarium videre velim, in quo ſit, πέτρος δὲ.

ἐννάτην] ἐνάτην. v. P. Ita adeo editum apud Chryſ. IX, 63. 64. Recte! Editores non nulli metuerunt manes S. Welleri. Sic etiam mox, in αὐτοῦ.

2. θύραν] πύλην. E. ex verſ. 10.

3. ἐλεη. λαβεῖν] —. Habet Chryſ. 63. d. quod id ipſe paullo ante ibid. b. de ſuo interpoſuerat. Idem 64. c. Mordicus hoc retinuit Griesb. Ita contemnit divinum Wetſt. D. Sed nec ego iſtius auctoritate moveor. Semel h. l. monitum ſit hoc: ubi in Actibus tomus Chryſoſtomi non notatur, ibi ſemper intelligitur Tomus IX.

4. ἀτενίσας — βλέψον] ἐμβλέψας — ἀτένισον. E. Wetſt. D. Scurra ergo iſte ſolus invertit. Pertinet hoc ad fabricam variarum lectionum, quas in rupibus Ienenſibus, Griesbachio de arce ſua inſpectante, cum ſociis excudit membra nudus Pyracmon. Ex eadem fabrica hic in vicino permulta licet reperire. Etenim magna vi brachia tollunt illi inter ſeſe.

5. ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ᾽ αὐ-
6. τῶν λαβεῖν. εἶπε δὲ πέτρος· ἀργύριον καὶ
χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό
σοι δίδωμι· ἐν τῷ ὀνόματι ἰησοῦ χριςοῦ τοῦ
7. ναζωραίου ἔγειραι καὶ περιπάτει. καὶ πιά-
σας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρε· παρα-
χρῆμα δὲ ἐςερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ
8. τὰ σφυρά. καὶ ἐξαλλόμενος ἔςη καὶ πε-
ριεπάτει, καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν,
περιπατῶν καὶ ἀλλόμενος καὶ αἰνῶν τὸν
9. θεόν. [Τέλος.] καὶ εἶδεν αὐτὸν πᾶς ὁ λαὸς Τέλος τῆς ε.
10. περιπατοῦντα καὶ αἰνοῦντα τὸν θεόν· ἐπε-
γίνωσκόν τε αὐτὸν ὅτι οὗτος ἦν ὁ πρὸς τὴν
ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡραίᾳ πύλῃ
τοῦ ἱεροῦ· καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκ-
Θ. 11. ςάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ. [Ἀρχή.]
κρατοῦντος δὲ * αὐτοῦ τὸν πέτρον καὶ ἰωάν-
νην, συνέδραμε πρὸς αὐτοὺς πᾶς ὁ λαὸς ἐπὶ
τῇ ςοᾷ τῇ καλουμένῃ σολομῶνος ἔκθαμβοι.
12. ἰδὼν δὲ πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν·
ἄνδρες ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ,
ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσε-
βείᾳ

III, 11. Θ. τῷ σαββάτῳ τῆς διακαινησίμου· ἐν τ. ἡμ. ἐ. κρατοῦντος τοῦ ἰαθέντος χωλοῦ τὸν πέτρον.

7. πιάσας] κρατήσας. E. Ita debebat eſſe.

11. δὲ τοῦ ἰαθέντος χωλοῦ τὸν] δὲ αὐτοῦ τόν. Ex lectionariis. Τοῦ ἰαθέντος, omiſſo χωλοῦ, Chryſ. IX, 65. b. Ita neceſſario ſcribendum erat apud Chryſ. perſpicuitatis cauſſa. Eſſe iſta lectionis eccleſ., diſcitur etiam ex Guelph. 16, 7. v. P.

12. εὐσεβείᾳ] ἐξουσίᾳ. E. Ita Chryſ. VII, 508. a. Sed
ταῖς

βείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; ὁ 13.
θεὸς ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακὼβ, ὁ θεὸς
τῶν πατέρων ἡμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ
ἰησοῦν, ὃν ὑμεῖς * μὲν παρεδώκατε, καὶ ἠρνή-
σασθε αὐτὸν κατὰ πρόσωπον πιλάτου, κρί-
ναντος ἐκείνου ἀπολύειν. ὑμεῖς δὲ τὸν ἅγιον 14.
καὶ δίκαιον ἠρνήσασθε, καὶ ἠτήσασθε ἄνδρα
φονέα χαρισθῆναι ὑμῖν· τὸν δὲ ἀρχηγὸν 15.
τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ
νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν. καὶ ἐπὶ 16.

τῇ

vulg. IX, 69. bis. VIII, 385. c. Multoties haec laudat, sed loca omnia notari nequeunt. Cyrill. V, a. 108. ἄνδρες ἀδελφοὶ, τί ἡμῖν προσέχετε (Sic et Chrys.) ὡς ἰδίᾳ δυνάμει καὶ εὐσεβείᾳ. 619. ἄνδρες ἰσρ. τί θαυμ. — δυνάμει ἢ εὐσεβείᾳ. VI. a. 184. ἄνδρες, τί ἡμῖν προσέχετε ὡς ἰδίᾳ δυν. ἢ εὐσεβ. Quid hic probi Codd.? Nihil varietatis habent.

13. ἰσαὰκ καὶ ἰακὼβ] ὁ θεὸς ἰσαὰκ καὶ ὁ θεὸς ἰακώβ. E. Chrys. IX, 69. v. IV, 277. b.
ὃν ὑμεῖς] + μέν.
παρεδώκατε] + εἰς κρίσιν t εἰς κριτήριον. E. Pudet huiuscemodi memorare. Sed testes mendaces ipsi se arguunt mendacii. Mox scurrilis recensio Griesbachii: κρίναντος ἐκείνου ἀπολύειν αὐτὸν θέλοντος. Chrys. IX, 72. c. d. 70. a. οὐκ εἶπε θελήσαντος, ἀλλὰ κρίναντος αὐτοῦ ἀπολύειν, sed de suo inculcat βουλομένου et θελήσαντος. Sed 227. d. est etiam θέλοντος. Falsarii ergo ex omnibus latebris conquisiverunt corruptiones.

14. ἠρνήσασθε] Scurrilis recensio: ἐβαρύνατε, gravastis, aggravastis, inhonorastis. Cur non potius, ἐνεπαροινήσατε; Sic mox eadem recensio: φονέα ζῆν καὶ χαρισθῆναι. Suntne hae variae lectiones? Immo σκύβαλα, quibus nec filius perditus apud Lucam vescebatur.

τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον, ὃν
θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐ-
τοῦ· καὶ ἡ πίστις ἡ δι᾽ αὐτοῦ ἔδωκεν αὐτῷ
τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων
17. ὑμῶν. [Τέλος.] καὶ νῦν, ἀδελφοί, οἶδα ὅτι Τέλος τοῦ
κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρ- σαββάτου.
18. χοντες ὑμῶν· ὁ δὲ θεὸς ἃ προκατήγγειλε
διὰ στόματος πάντων τῶν προφητῶν αὐτοῦ,
I. 19. παθεῖν τὸν χριστόν, ἐπλήρωσεν οὕτω. [Ἀρ-
χή.] μετανοήσατε οὖν καὶ ἐπιστρέψατε, εἰς
τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας· ὅπως
ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου
20. τοῦ κυρίου, καὶ ἀποστείλῃ τὸν * προκεχει-
21. ρισμένον ὑμῖν ἰησοῦν χριστόν, ὃν δεῖ οὐρανὸν
μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως
πάντων, ὧν ἐλάλησεν ὁ θεὸς διὰ στόματος
πάντων * τῶν ἁγίων αὐτοῦ προφητῶν ἀπ᾽
22. αἰῶνος. μωυσῆς μὲν γὰρ πρὸς τοὺς πατέ-
ρας εἶπεν· ὅτι προφήτην ὑμῖν ἀναστήσει κύ-
ριος ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς
ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν
λαλή-

III, 19. I. τῇ β. τῆς β. ἑβδ. ἐν τ. ἡμ. ἑ. εἶπε πέτρος πρὸς τὸν λαόν· μετανοήσατε καί.

20. προκεκηρυγμένον] προκεχειρισμένον. Ita et Chryſ. IX, 71. 74. 75. Sic poſt priorem edit. inveni etiam in Codd.

21. δεῖ] Oec. I, 31. δεῖ, ἀντὶ τοῦ ἔδει. Ibid. bis ὑποδέξασθαι.

στόματος πάντων] + τῶν. Chryſ. IX, 71. 74. στόματος τῶν et πάντων τῶν. Orig. III, 221. τῶν ἁγίων αὐτοῦ ἀπ᾽ αἰῶνος προφητῶν ἐν χριστῷ ἰησοῦ.

λαλήσῃ πρὸς ὑμᾶς· ἔσαι δὲ, πᾶσα ψυχὴ 23.
ἥτις * ἐὰν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου,
ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ· καὶ πάν- 24.
τες δὲ οἱ προφῆται ἀπὸ σαμουὴλ καὶ τῶν
καθεξῆς, ὅσοι ἐλάλησαν, καὶ * κατήγγειλαν
τὰς ἡμέρας ταύτας. ὑμεῖς ἐστε υἱοὶ τῶν 25.
προφητῶν καὶ τῆς διαθήκης ἧς διέθετο ὁ
θεὸς πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς
ἀβραάμ· καὶ * ἐν τῷ σπέρματί σου ἐνευλο-
γηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς.
ὑμῖν πρῶτον ὁ θεὸς, ἀναστήσας τὸν παῖδα 26.
αὐτοῦ ἰησοῦν, ἀπέστειλεν αὐτὸν εὐλογοῦντα
ὑμᾶς, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν cap. 4
Τέλος τῆς β. πονηριῶν ὑμῶν. [Τέλος.] [Ἀρχή.] Λαλούν- IV, 1. ΙΑ.
των δὲ αὐτῶν πρὸς τὸν λαὸν, ἐπέστησαν αὐ-
τοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ
οἱ σαδδουκαῖοι, διαπονούμενοι διὰ τὸ διδά- 2.
σκειν αὐτοὺς τὸν λαὸν, καὶ καταγγέλλειν ἐν
τῷ ἰησοῦ τὴν ἀνάστασιν * τῶν νεκρῶν· καὶ 3.
ἐπέβαλον αὐτοῖς τὰς χεῖρας, καὶ ἔθεντο εἰς
τήρη-

IV, 1. ΙΑ. τῇ γ. τῆς β. ἑβδ. [καὶ ἐν τισι, σεπτεμβρίου κβ. εἰς τὸν προφήτην ἰωνᾶν.] ἐν τ. ἡμ. ἐ. λαλούντων τῶν ἀποστόλων πρὸς τὸν λαόν.

23. ἂν μὴ] ἐὰν μή.

24. προκατήγγειλαν] κατήγγειλαν.

25 καὶ τῷ] καὶ ἐν τῷ.

26. ἰησοῦν et αὐτὸν et ὑμῶν] — E. Chryſ. IX, 71. Plura etiam omittit. 76. a. Vide et XII, 54. Ex Chryſoſtomo quaevis lectio poteſt erui.

IV, 2. τὴν ἐκ νεκρῶν] τῶν νεκρῶν. Etiam Chryſ. IX, 80.

3. ἔθεντο] + αὐτούς. E. Chryſ. ibid.

τήρησιν εἰς τὴν αὔριον· ἦν γὰρ ἑσπέρα ἤδη.
4. πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπί-
ςευσαν· καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν
5. ὡσεὶ χιλιάδες πέντε. · ἐγένετο δὲ ἐπὶ τὴν
αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας
καὶ * τοὺς πρεσβυτέρους καὶ γραμματεῖς εἰς
6. ἱερουσαλὴμ, καὶ ἄνναν τὸν ἀρχιερέα καὶ
καιάφαν καὶ ἰωάννην καὶ ἀλέξανδρον, καὶ
7. ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ. καὶ ςή-
σαντες αὐτοὺς ἐν * μέσῳ, ἐπυνθάνοντο· ἐν
ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε
8. τοῦτο ὑμεῖς; τότε πέτρος πλησθεὶς πνεύ-
ματος ἁγίου εἶπε πρὸς αὐτούς· ἄρχοντες τοῦ
9. λαοῦ καὶ πρεσβύτεροι τοῦ ἰσραὴλ, εἰ ἡμεῖς
σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώ-
10. που ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωςαι· γνω-
ςὸν ἔςω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ λαῷ ἰσραὴλ,
ὅτι ἐν τῷ ὀνόματι ἰησοῦ χριςοῦ τοῦ ναζω-
ραίου, ὃν ὑμεῖς ἐςαυρώσατε, ὃν ὁ θεὸς ἤγει-
ρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέςηκεν ἐν-
11. ώπιον ὑμῶν ὑγιής. [Τέλος.] οὗτός ἐςιν ὁ Τέλος τῆς γ.
λίθος

5. ἄρχοντας καὶ] + τούς.
εἰς] ἐν. E.
7. ἐν τῷ μέσῳ] τῷ —.
8. ἰσραὴλ] — E. Nullus bonus Cod. omittit. Omittit Cyrill. II, 164. ſed ibi eſt etiam ἀνακρινόμεθα. V, a. 704. V, d. 31.
10. πᾶσιν] — E. Cyrill. II, 164. Habet V, a. 704.
ὑγιὴς] + καὶ ἐν ἄλλῳ οὐδενί. E. Ex verſ. 12. quem aliqui, ut Cyrill., poſt ὑγιὴς ſubiungunt.

λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδο-
μούντων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας·
καὶ οὐκ ἔςιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὔτε 12.
γὰρ ὄνομά ἐςιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ
δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι
ἡμᾶς. [Ἀρχή.] Θεωροῦντες δὲ τὴν τοῦ 13. IB.
πέτρου παῤῥησίαν καὶ ἰωάννου, καὶ κατα-
λαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι
καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐ-
τοὺς ὅτι σὺν τῷ ἰησοῦ ἦσαν· τὸν δὲ ἄν- 14.
θρωπον βλέποντες σὺν αὐτοῖς ἑςῶτα τὸν τε-
θεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν.

Ε. περὶ ἀπειλῆς τῶν ἀρχιερέων, ὡς οὐ δεῖ παῤῥησιάζε-
σθαι ἐπὶ τῷ ὀνόματι τοῦ χριςοῦ, καὶ ἀνέσεως τῶν ἀπο-
ςόλων. εὐχαριςία ἀπὸ τῆς ἐκκλησίας ὑπὲρ τῆς τῶν ἀπο-
ςόλων πιςῆς καρτερίας. περὶ ὁμοψύχου καὶ καθολικῆς
κοινωνίας τῶν πιςευόντων· ἐν ᾧ περὶ ἀνανίου καὶ σαπφεί-
ρας καὶ πικρᾶς αὐτῶν τελευτῆς.

κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου 15.
ἀπελθεῖν, συνέβαλον πρὸς ἀλλήλους, λέ- 16.
γον-

IV, 13. IB. τῇ δ. τῆς β. ἑβδ. ἐν τ. ἡμ. ἐ. Θεωροῦντες οἱ ἰουδαῖοι τήν.

11. ἐξουθενηθεὶς] ἐξουδενωθείς. E. Nominatim Orig. IV, 25.

οἰκοδομούντων] οἰκοδόμων. D. v. P. Orig. l. l.

12. οὔτε] οὐδὲ t οὐ. E. Cyrill. V, a. 704. at mox, ἕτερόν ἐςιν ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον. V, d. 31. ἕτερον ὄνομά ἐςιν ὑπὸ τὸν οὐρανὸν τὸ δεδ.

ἕτερον ὑπὸ τὸν οὐρανὸν] ὑπὸ τὸν οὐρανόν. — D. Habet Chryſ. 82. 84. bis. Cyrill. I, a. 83. ubi tamen alia mutat. 571. I, g. 13. 165. 264. 325. Servat etiam Baſil. M. III, 315. d. Omittit Theophyl. Oecum.

γοντες· τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;
ὅτι μὲν γὰρ γνωςὸν σημεῖον γέγονε δι' αὐ-
τῶν, πᾶσι τοῖς κατοικοῦσιν ἱερουσαλὴμ φα-
17. νερὸν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι· ἀλλ'
ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαὸν,
ἀπειλῇ * ἀπειλησόμεθα αὐτοῖς μηκέτι λα-
λεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων.
18. καὶ καλέσαντες αὐτοὺς, παρήγγειλαν αὐ-
τοῖς τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδά-
19. σκειν ἐπὶ τῷ ὀνόματι τοῦ ἰησοῦ. ὁ δὲ πέ-
τρος καὶ ἰωάννης ἀποκριθέντες πρὸς αὐτοὺς,
εἶπον· εἰ δίκαιόν ἐςιν ἐνώπιον τοῦ θεοῦ, ὑμῶν
20. ἀκούειν μᾶλλον ἢ τοῦ θεοῦ, κρίνατε· οὐ
δυνάμεθα γὰρ ἡμεῖς, ἃ εἴδομεν καὶ ἠκούσα-
μεν,

Oecum. Cum mihi locus alius non ſit notus, in quo haec legantur, non puto, ea aliunde huc translata eſſe. De Orig. vide ſchol. ad verſ. 11. in P.

13. τὴν τοῦ] τοῦ — E. Orig. III, 458.

14. βλέποντες] θεωροῦντες. E. Chryſ. IX, 82. ἐρῶντες.

16. ποιήσομεν] ποιήσωμεν. E. Facunde de his disputat Chryſ. VII, 304. d. XII, 370. c.

17. ἀπειλῇ] — E. Chryſ. IX, 82. c. omittit, habetque ἀπειλησώμεθα. Sic, ſed ſervato ἀπειλῇ. 83. b. Vide mox.

ἀπειλησώμεθα] ἀπειλησόμεθα. Etiam Chryſ. IX, 85. c. ἀπειλῇ ἀπειλησόμεθα.

18. καὶ καλέσαντες] καὶ προσκαλεσάμενοι t συγκατατιθεμένων δὲ αὐτῶν τῇ γνώμῃ φωνήσαντες. E. Griesbachii *Lucifer*, et alter *Lucifer*, Wetſt. D. In mentem venit tertius *Lucifer* Ieſ. 14, 12.

20. καὶ ἠκούσαμεν] Teſte *S. Rev. Henkio* in Cod. Helmſt. homil. Chryſ. in Matth. legitur: καὶ οὐκ ἠκούσαμεν, hoc eſt, quae *oculis*, non *auribus* percepi-

μεν, μὴ λαλεῖν. οἱ δὲ προσαπειλησάμενοι 21.
ἀπέλυσαν αὐτοὺς, μηδὲν εὑρίσκοντες τὸ πῶς
* κολάσονται αὐτοὺς, διὰ τὸν λαὸν, ὅτι πάν-
τες ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ γεγονότι.
ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄν- 22.
θρωπος ἐφ' ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς
Τέλος τῆς δ. ἰάσεως. [Τέλος] [Ἀρχή.] ἀπολυθέντες δὲ 23. ΙΓ.
ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα
πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι
εἶπον. οἱ δὲ ἀκούσαντες, ὁμοθυμαδὸν ἦραν 24.
φωνὴν

IV, 23. ΙΓ.' τῇ ε. τῆς β. ἑβδ. ἐ. τ. ἡ. ἐ. ἀπολυθέντες οἱ ἀπόστολοι ἦλθον.

cepimus. Huiuſmodi arbitrariae lectiones non rarae ſunt in Chryſ. Accedit, quod ſecundum Herodot. I, 8. ὦτα τυγχάνει ἀνθρώποισιν ἐόντα ἀπιστότερα ὀφθαλμῶν. Verum hic Apoſtoli duplici ſenſuum teſtimonio nituntur, ut 1 Io. 1, 1. 3. Res redit ad Chryſoſtomum. Is ergo VIII, 83. a. 85. d. e. 86. a. iſtud οὐκ non agnoſcit. Nec in homiliis ad Matth. ubi hunc locum non ſemel, ſed bis habet VII, 304. e. et 380. b. ubi ſecundo οἴδαμεν exhibetur. Nihil mutat ſic dictus Theophylactus edit. Venet. III, 211. qui tamen totus ex Chryſoſt. pendet. Accedit Cyrill. III, 330. IV, 642 et, quod maioris momenti eſt, Codices Actuum omnino omnes. Eſt ergo iſta lectio fortuita unius Cod. Helmſt., cuiusmodi plures pepererunt ſcribarum negligentia, levitas et temeritas, quam tamen monitus a tanto viro praeterire nolui. Ipſe Mosquae duodecim Codd. Chryſ. homil. in Matth. tractavi. Illud tamen οὐκ non animadverti. Omittit etiam Baſil. M. II, 671. c.

21. κολάσωνται] κολάσονται. Ita et in aliis Codd. poſtea reperi. Vulg. Chryſ. IX, 83. a. quod non miror. Sic enim debebat eſſe.

φωνὴν πρὸς τὸν θεὸν, καὶ εἶπον· δέσποτα,
σὺ ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν
γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν
25. αὐτοῖς, ὁ διὰ ςόματος δαυὶδ * παιδός σου
εἰπών· ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέ-
26. τησαν κενά; παρέςησαν οἱ βασιλεῖς τῆς
γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ
αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριςοῦ
27. αὐτοῦ. συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ
τὸν ἅγιον παῖδά σου ἰησοῦν, ὃν ἔχρισας,
ἡρώδης τε καὶ πόντιος πιλάτος, σὺν ἔθνεσι
28. καὶ λαοῖς ἰσραὴλ, ποιῆσαι ὅσα ἡ χείρ σου
29. καὶ ἡ βουλή σου προώριστε γενέσθαι. καὶ
τὰ νῦν, κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν,
καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας
30. πάσης λαλεῖν τὸν λόγον σου, ἐν τῷ τὴν
χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν, καὶ σημεῖα
καὶ τέρατα γίνεσθαι, διὰ τοῦ ὀνόματος τοῦ
31. ἁγίου παιδός σου ἰησοῦ. καὶ δεηθέντων
αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγ-
μένοι·

25. δαυὶδ τοῦ] — τοῦ.

27. ἀληθείας] + ἐν τῇ πόλει ταύτῃ. E. Nec ii, quos postea consului, id agnoscunt. Habet Chrys. IX, 89. d. Cyrill. I, g. 413. ἐπ' ἀληθείας γὰρ συνήχθ. ἐν τῇ πόλει ταύτῃ — ἰησοῦν χριςὸν — πόντιος πιλάτος III, 108. συνηχθ. γὰρ ἐπ' ἀληθείας ἐν τῇ πόλει ταύτῃ — πόντιος πιλάτος. 572. ἐπ' ἀληθείᾳ γὰρ συνήχθη ἐν τῇ πόλει ταύτῃ — πόντιος πιλάτος. Ibidem deest vers. 28.

29. ἔπιδε] ἔφιδε. Wetst. A. D. E. Ex recensione Alexandrino-occidentali.

πάσης] — E. Cyrill. III, 572. IV, 887.

μένοι, καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος
ἁγίου, καὶ ἐλάλουν τὸν λόγον τοῦ θεοῦ μετὰ
Τέλος τῆς ι. παῤῥησίας. [Τέλος.] τοῦ δὲ πλήθους τῶν 32.
πιςευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία·
καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλε-
γεν ἴδιον εἶναι, ἀλλ᾽ ἦν αὐτοῖς ἅπαντα κοινά.
καὶ μεγάλῃ δυνάμει ἀπεδίδουν τὸ μαρτύριον 33.
οἱ ἀπόςολοι τῆς ἀναςάσεως τοῦ κυρίου ἰησοῦ,
χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς.
οὐδὲ γάρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς· ὅσοι 34.
γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πω-
λοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομέ-
νων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν 35.
ἀποςόλων· διεδίδοτο δὲ ἑκάςῳ καθότι ἄν τις
χρείαν εἶχεν. ἰωσῆς δὲ, ὁ ἐπικληθεὶς βαρ- 36.
νάβας ὑπὸ τῶν ἀποςόλων, ὅ ἐςι μεθερμη-
νευόμενον, υἱὸς παρακλήσεως, λευίτης, κύ-
πριος τῷ γένει, ὑπάρχοντος αὐτῷ ἀγροῦ, 37.
πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ
τοὺς

32. ἦν ἡ ψυχὴ καὶ ἡ καρδία πάντων τῶν πιςευόντων μία. Orig. III, 616. τοῦ πλήθους τῶν πιςευόντων ἦν καρδία καὶ ψυχὴ μία. 673. ἦν δὲ πάντων τῶν πιςευσάντων ἡ καρδ. I, 750. ἦν πάντων τῶν πιςευόντων καρδία καὶ ψυχή. II, 34. Tot recenſiones!

34. ὑπῆρχεν] ἦν. E.

35. ἐτίθουν] ἐτίθεσαν. E. Chryſ. IX, 90. e. ſed vulg. 97. e.

36. ἰωσῆς] ἰωσήφ. E. Bis vulg. Chryſ. IX, 90. e. ſed 91. b. ἰωσήφ.
ὑπὸ τῶν] ἀπὸ τῶν. A.

37. ἤνεγκε] ἤγαγε. E, Orig. III, 673. et, παρὰ τοὺς ἀποςόλους.

cap. 5

ΙΔ. V, 1. τοὺς πόδας τῶν ἀποςόλων. ['Αρχή.] Ἀνὴρ
δέ τις ἀνανίας ὀνόματι, σὺν σαπφείρᾳ τῇ
2. γυναικὶ αὐτοῦ ἐπώλησε κτῆμα, καὶ ἐνοσ-
φίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς
γυναικὸς αὐτοῦ, καὶ ἐνέγκας μέρος τι παρὰ
3. τοὺς πόδας τῶν ἀποςόλων ἔθηκεν. εἶπε δὲ
πέτρος· ἀνανία, διατί ἐπλήρωσεν ὁ σατανᾶς
τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ πνεῦμα
τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς
4. τοῦ χωρίου; οὐχὶ μένον, σοὶ ἔμενε, καὶ
πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; τί ὅτι
ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο;
οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ θεῷ.
5. ἀκούων δὲ * ὁ ἀνάνιας τοὺς λόγους τούτους,
πεσὼν ἐξέψυξε· καὶ ἐγένετο φόβος μέγας
6. ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. ἀνα-
ςάντες δὲ οἱ νεώτεροι συνέςειλαν αὐτὸν, καὶ
7. ἐξενέγκαντες ἔθαψαν. ἐγένετο δὲ ὡς ὡρῶν
τριῶν διάςημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα
8. τὸ γεγονὸς εἰσῆλθεν. ἀπεκρίθη δὲ αὐτῇ ὁ
πέτρος· εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέ-
9. δοσθε; ἡ δὲ εἶπε· ναὶ, τοσούτου. ὁ δὲ πέ-
τρος

V, 1. ΙΔ. τῇ ς. τῆς β. ἑβδ. ἐ. τ. ἡ. ἰ. ἀνήρ τις ἀνανίας.

V, 3. διατί ἐπλήρωσεν] ἱνατί ἠπάτησεν. E. Theodoret. ad Corinth. p. 261. Vulgatum habet et Orig. III, 673. Miror, neminem intulisse ἐπείρασεν ex vulg. *tentavit.*

νοσφίσασθαι] + σε. D.

4. ἐν τῇ] ἐπὶ τῇ. E. Chryf. IX, 96.

5. ἀκούων δὲ] + ὁ. In fine ταῦτα videtur praetermittere Orig. l. l.

τρος εἶπε πρὸς αὐτήν· τί ὅτι συνεφωνήθη
ὑμῖν πειράσαι τὸ πνεῦμα κυρίου; ἰδοὺ, οἱ πό-
δες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ
θύρᾳ, καὶ ἐξοίσουσί σε. ἔπεσε δὲ παρα- 10.
χρῆμα παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυ-
ξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν
νεκρὰν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν
ἄνδρα αὐτῆς. καὶ ἐγένετο φόβος μέγας 11.
ἐφ' ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς
Τέλος τῆς ς. ἀκούοντας ταῦτα. [Τέλος.] [Ἀρχή.] διὰ 12. ΙΕ.
δὲ τῶν χειρῶν τῶν ἀποςόλων ἐγίνετο σημεῖα
καὶ τέρατα ἐν τῷ λαῷ πολλά· καὶ ἦσαν
ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ ςοᾷ σολομῶνος·
τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐ- 13.
τοῖς· ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. μᾶλ- 14.
λον δὲ προσετίθεντο πιςεύοντες τῷ κυρίῳ,
πλήθη ἀνδρῶν τε καὶ γυναικῶν· ὥςε κατὰ 15.
τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ
τιθέναι ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα ἐρ-
χομένου πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ
αὐτῶν.

V, 12. ΙΕ. κυριακῇ τοῦ ἀντίπασχα· ἐ. τ. ἡ. ἐ. διὰ τῶν χειρῶν.

10. παρὰ] πρὸς t ἐπὶ t ὑπό. E. Deeſt adhuc ἀμφὶ et περί. Ex aliis notatur etiam ἐνώπιον αὐτοῦ. Mei omnino omnes παρά. Orig. III, 674. ἔπεσε γὰρ παραχρῆμα καὶ αὐτὴ πρός.

12. ἐγίνετο] ἐγίνετα. D

15. κατὰ] εἰς t καὶ εἰς. E. κατὰ h. l. eſt *per.*
ἐρχομένου] διερχομένου. E. Eleganter, ſed contra Codd.
τινὶ αὐτῶν] *Luciferorum* obſcurorum appendices notavit Griesb.

16. αὐτῶν. συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν
πέριξ πόλεων εἰς ἱερουσαλήμ, φέροντες ἀσθε-
νεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκα-
θάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες.

5. ὅτι τοὺς ἀποσόλους ἐμβληθέντας ἐν τῷ δεσμωτηρίῳ ἄγγελος τοῦ θεοῦ νύκτωρ ἐξέωσεν, ἐπιτρέψας ἀκωλύτως κηρύσσειν τὸν ἰησοῦν· ἐν ᾧ. ὅτι τῇ ἑξῆς αὐτοὺς οἱ ἀρχιερεῖς πάλιν συλλαβόμενοι, ἐφ᾽ ᾧ μηκέτι διδάσκειν μαστίξαντες ἀπέλυσαν. γαμαλιήλου γνώμη πιστὴ περὶ τῶν ἀποσόλων μετὰ παραδειγμάτων τινῶν καὶ ἀποδείξιων.

17. ἀναςὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν
αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν σαδδουκαίων, ἐπλή-
18. σθησαν ζήλου, καὶ ἐπέβαλον τὰς χεῖρας
αὐτῶν ἐπὶ τοὺς ἀποςόλους, καὶ ἔθεντο αὐ-
19. τοὺς ἐν τηρήσει δημοσίᾳ. ἄγγελος δὲ κυ-
ρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς
20. φυλακῆς, ἐξαγαγών τε αὐτοὺς, εἶπε· πο-
ρεύεσθε, καὶ ςαθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ
λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης.
15. 21. [Τέλος.] ἀκούσαντες δὲ [Ἀρχή.] εἰσῆλθον Τέλος τῆς
ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκον. κυριακῆς.
παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν
αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν
τὴν γερουσίαν τῶν υἱῶν ἰσραήλ, καὶ ἀπέστει-
λαν εἰς τὸ δεσμωτήριον, ἀχθῆναι αὐτούς.
22. οἱ δὲ ὑπηρέται παραγενόμενοι οὐχ εὗρον αὐ-
τοὺς ἐν τῇ φυλακῇ· ἀναςρέψαντες δὲ ἀπήγ-
γειλαν,

V, 21. 15. τῷ σαββάτῳ τῆς β. ἑβδ. ἐ, τ. ἡ. ἐ, εἰσῆλθον οἱ ἀπόστολοι [ὑπὸ τὸν ὄρθρον] εἰς τὸ ἱερὸν κεφ.
20. τῆς ζωῆς ταύτης] Sic et Orig. IV. 195.

γειλαν, λέγοντες· ὅτι τὸ μὲν δεσμωτήριον 23.
εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ, καὶ
τοὺς φύλακας * ἑςῶτας πρὸ τῶν θυρῶν·
ἀνοίξαντες δὲ, ἔσω οὐδένα εὕρομεν. ὡς δὲ 24.
ἤκουσαν τοὺς λόγους τούτους ὅ, τε ἱερεὺς καὶ
ὁ ςρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διη-
πόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο.
παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς * 25.
ὅτι ἰδοὺ, οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ,
εἰσὶν ἐν τῷ ἱερῷ ἑςῶτες καὶ διδάσκοντες τὸν
λαόν. τότε ἀπελθὼν ὁ ςρατηγὸς σὺν τοῖς 26.
ὑπηρέταις, ἤγαγεν αὐτοὺς, οὐ μετὰ βίας·
ἐφοβοῦντο γὰρ τὸν λαὸν, ἵνα μὴ λιθασθῶσιν.
ἀγαγόντες δὲ αὐτοὺς ἔςησαν ἐν τῷ συνεδρίῳ· 27.
καὶ ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεὺς, λέγων· 28.
οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ
διδάσκκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ,
πεπλη-

23. φύλακας ἔξω] ἔξω —.

24. ἱερεὺς καὶ ὁ] — E.* Sic notare volebam in priore edit. ex Cod. Mosq. d. Unus tantum ista omittit ex iis, quos postea consului. Ἱερεὺς h. l. est ὁ ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. Lex Mosaica enim in desuetudinem venerat. Appropingante enim interitu gentium, violantur prius leges sanctissimae, et dei, et maiorum, et humanitatis. Plerumque fit initium ab ultimis, cum magis impune perrumpantur, pluribus adiuvantibus propter commune lucrum.

25. αὐτοῖς λέγων] λέγων —.

28. οὐ παραγγελίᾳ] οὐχὶ παραγγελίᾳ. E. Chrys. IX, 103. b. et alibi. v. Wetst. Griesb.

διδάσκειν] λαλεῖν. E. Pro more suo utrumque Chrys. VII, 380. IX, 103. 104. Omisso οὐ, habet διδά-

πεπληρώκατε τὴν ἱερουσαλὴμ τῆς διδαχῆς
ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ
29. αἷμα τοῦ ἀνθρώπου τούτου. ἀποκριθεὶς δὲ
* πέτρος καὶ οἱ ἀπόςολοι, εἶπον· πειθαρχεῖν
30. δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις. ὁ θεὸς τῶν
πατέρων ὑμῶν ἤγειρεν ἰησοῦν, ὃν ὑμεῖς διε-
31. χειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου. τοῦ-
τον ὁ θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ
δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ ἰσραὴλ
32. καὶ ἄφεσιν ἁμαρτιῶν. καὶ ἡμεῖς ἐσμὲν
αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων, καὶ
τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ θεὸς τοῖς
15. 33. πειθαρχοῦσιν αὐτῷ. [Τέλος.] οἱ δὲ [Ἀρχή.] Τέλος τοῦ σαββάτου.
ἀκούσαντες διεπρίοντο, καὶ ἐβουλεύοντο ἀνε-
34. λεῖν αὐτούς. ἀναςὰς δέ τις ἐν τῷ συνε-

δρίῳ

V, 33. 15. μαΐου ιγ. ἡ. τ. ή. ἱ. ἀκούσαντες. [τοῦτο τὸ ἀνάγνωσμα ἐν τοῖς πλείςοις οὐχ εὑρίσκεται.]

διδάσκειν Cyrill. I, g. 79. ὀυ παραγγ. — ὑμῖν μηδενὶ λαλεῖν II, 395. ὅτι παραγγ. — μηδενὶ λαλεῖν 455. v. Wetſt. Griesb.

πεπληρώκατε] ἐπληρώσατε. E. Cyrill. I, g. 79. vulg. 217. ἐπληρώσατε. II. 395. πεπληρώκατε. 455. Chryſ. IX, 104. ἐπληρώσατε. v. Wetſt. Griesb.

βούλεσθε] θέλετε. E. Chryſ. utrumque IX, 37. 104. 106. v. Wetſt. Griesb.

30. διεχειρίσασθε] ἀνείλετε. E. Utrumque Chryſ. IX, 104. b. Vulg. etiam Orig. IV, 195.

31. δοῦναι] τοῦ δοῦναι et ἐπὶ τῷ δοῦναι. Chryſ. l. l. 104. 105. 106.

32. ἐσμὲν αὐτοῦ] αὐτοῦ — E. Chryſ. habet et omittit. l. l. 104. c. 105. d.

33. ἐβουλεύοντο] ἐβούλοντο. E. Sic Chryſ. IX, d. ſed continuo addit, βουλεύονται. Iterum ἐβούλοντο. 106. d.

δρίω Φαρισαῖος, ὀνόματι γαμαλιὴλ, νομοδι-
δάσκαλος, τίμιος παντὶ τῷ λαῷ, ἐκέλευσεν
ἔξω βραχύ τι τοὺς ἀποςόλους ποιῆσαι·
εἰπέ τε πρὸς αὐτούς· ἄνδρες ἰσραηλῖται, 35.
προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τού-
τοις, τί μέλλετε πράσσειν. πρὸ γὰρ τού- 36.
των τῶν ἡμερῶν ἀνέςη θευδᾶς, λέγων εἶναί
τινα ἑαυτὸν, ᾧ * προσεκλήθη ἀριθμὸς ἀν-
δρῶν

34. τοὺς ἀποςόλους ποιῆσαι] τοὺς ἀνθρώπους γενέσθαι. E. Sic Chrys. IX, 110. Sic et mox, sed ποιῆσαι. Omittit etiam cum aliquibus τι post βραχύ.

36. τινα ἑαυτὸν] + μέγαν. E. τινὰ saepe sic occurrit: μέγαν ergo est explicatio. Μέγαν videtur inferre Orig. I, 372. et 638. sed et reliqua suis verbis exponit. E go habet etiam διεσκεδάσθησαν.

προσεκολλήθη] προσεκλίθη l προσεκλήθη. Alterutrum horum probandum videtur. Praefero nunc posterius, quod illud exquisitius est, quod in pluribus Codd. ortum est ex correctione litterae ι, loco η. quod nullibi in N. aut V. Test. occurrit, quod posterius, ut minus graecum, magis his scriptoribus convenit, quod nemo facile elegantius cum rudiori permutavit, quod denique προσεκλήθη propter η. propius accedit ad alteram correctionem προσεκολλήθη. προσεκλίθη ergo est correctio doctior: προσεκολλήθη N. Testamento accommodatior. Vulgatum habet Chrys. IX, 110. e. Προσκέκλημαι simili fere modo, sed in bonam partem, occurrit 13, 2. Προσετέθη auctoritate Codd. destituitur. Sed nec προσεκολλήθη, quod in N. Test. probari potest, adeo firmiter consistit per Codd. Pro προσεκλίθη Griesb. ex Wetst. ut semper, laudat Cyrill. Scilicet in Iesaiam pag. 161. Ibi nihil reperitur. Sed II, 165. est προσεκλίθη. Audi vero, mi Griesbachi, Cyrillus hunc totum locum a vers.
35.

δρῶν ὡσεὶ τετρακοσίων· ὃς ἀνῃρέθη, καὶ πάν-
τες ὅσοι ἐπείθοντο αὐτῷ, διελύθησαν καὶ
37. ἐγένοντο εἰς οὐδέν. μετὰ τοῦτον ἀνέστη Ἰού-
δας ὁ γαλιλαῖος, ἐν ταῖς ἡμέραις τῆς ἀπο-
γραφῆς, καὶ ἀπέστησε λαὸν ἱκανὸν ὀπίσω αὐ-
τοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι
38. ἐπείθοντο αὐτῷ, διεσκορπίσθησαν. καὶ τὰ
νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων
τούτων,

35. laudat etiam IV, 642. a. ibi: ᾧ προσεκολλήθησαν ἀνδρῶν ἀριθμὸς ὡσεὶ τετρακόσιοι. Ex Cyrillo ergo efficitur? Nihil. Conſulendi ergo ſunt furciferi *Luciferi* tui. Latiniſtae reddiderunt, *conſenſit*, *appoſiti ſunt*. Sed aliqui eorum reddiderunt etiam ἐπείθοντο, *conſenſerunt*. Ergo prius vocabulum ex poſteriore interpretati ſunt. Utrique accommodatum eſt προστίθεσθαι, quod et *apponi*. et *conſentire* notat. Recte graece enim dicitur προστίθεσθαί τινι, alicuius *ſententiam*. *conſilium ſequi*. *conſentire*. Ex ſtulta ergo interpretatione *conſenſit* docta orta eſt correctio προσετέθη, et hoc rurſus redditum eſt *appoſiti ſunt*. Error ex errore, fraus ex fraude. Reliquae ſic dictae *verſiones*, quae nos hic adiuvare debebant, apud Griesb. h. l. ſilent omnes. Codices non nulli, qui temere vocales confundunt, ut Wetſt. A. B. etc. nec pro ι, nec pro η certo laudari poſſunt. Idem ille A., qui hic habet προσεκλίθη, 1 Tim. V, 21. habet πρόσκλησιν.

ἐπείθοντο] εἵποντο. E. Cyrill. II, 165. Vulgatum IV, 642.

αὐτῷ] + ὄντες. E. Cyrill. IV, 642.

37. ἱκανὸν] — E. Cyrill. II, 165. Habet IV, 642. Rurſus ſolum pro omiſſo laudatur a Wetſt. Igitur etiam, ut ſemper, a Griesb. Πολὺν alii ſubiecerunt, quod ἱκανὸς hoc ſenſu non eſt graecum. Confuſionem Chryſ., qui haec transponit., v. IX, 111. a.

τούτων, καὶ ἐάσατε αὐτούς· ὅτι ἐὰν ᾖ ἐξ
ἀνθρώπων ἡ βουλὴ * ἢ τὸ ἔργον τοῦτο, κα-
ταλυθήσεται· εἰ δὲ ἐκ θεοῦ ἐστιν, οὐ δύνα- 39.
σθε καταλῦσαι αὐτὸ, μήποτε καὶ θεομάχοι
εὑρεθῆτε. ἐπείσθησαν δὲ αὐτῷ· καὶ προσ- 40.
καλεσάμενοι τοὺς ἀποστόλους, δείραντες παρ-
ήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ
ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς. οἱ μὲν οὖν 41.
ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνε-
δρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ κατη-
ξιώθη-

38. ἐάσατε αὐτοὺς] his addunt Latiniſtae: *non coinquinantes manus (veſtras.)* Accedamus iam ad fabricas Cyclopum. Quid ergo illi fabricati ſunt? Wetſt. D. μὴ μιάναντες τὰς χεῖρας. Eiusdem E. μὴ μολύνοντες τὰς χεῖρας ὑμῶν. Alter ergo ex Schrevelio μιαίνειν, alter μολύνειν arripuit. Suntne hae variae lectiones? Nonne manifeſte h. l. mulciberi iſti fraudis arguuntur? Satisne ſani ſunt, qui huiusmodi fraudes et mendacia non ſolum divulgant, ſed et hominibus credulis et ſtultis obtrudunt? v. Sabat. Nam Griesbachius h. l. pepercit Latiniſtis, commilitonibus ſuis. v. 6, 10. 7, 17.

βουλὴ αὕτη] αὕτη —. Addendi cauſſa erat, omittendi nulla. Orig. I, 372. ἡ βουλὴ αὕτη καὶ ὁ λόγος οὗτος καταλ. et mox: ἐὰν δὲ ᾖ ἐκ θεοῦ, οὐ δυνήσεσθε καταλ. τὴν τούτου διδασκαλίαν.

39. δύνασθε] δυνήσεσθε. E. Ita dicendum erat. Habet quidem δυνήσεσθε Chryſ. IX, 111. a. 112 d. ſed 128. e. vulg. Apoſtolorum ergo vocabula vi exprimenda ſunt Patribus.

αὐτὸ] αὐτούς. E. καταλύειν cum accuſativo perſonae recte quidem dicitur, ut τύραννον, δῆμον Hic autem non quaeritur, quid graecum ſit, ſed quid Codd. probent.

41. ὀνόματος αὐτοῦ] αὐτοῦ — D. Quae alii addunt, ut τοῦ χριστοῦ, τοῦ ἰησοῦ, τοῦ κυρίου, ea potius intelligen-

42. ξιώθησαν ἀτιμασθῆναι· πᾶσάν τε ἡμέραν
ἐν τῷ ἱερῷ καὶ κατ' οἶκον οὐκ ἐπαύοντο δι-
δάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν τὸν
χριςόν. [Τέλος.] cap. 6 Τέλος μαΐου ιγ.

Ζ. περὶ χειροτονίας τῶν ἑπτὰ διακόνων.

ΙΖ. VI, 1. Ἐν δὲ ταῖς ἡμέραις ταύταις [Ἀρχή.] πλη-
θυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς
τῶν ἑλληνιςῶν πρὸς τοὺς ἑβραίους, ὅτι παρ-
εθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ
2. χῆραι αὐτῶν. προσκαλεσάμενοι δὲ οἱ δώ-
δεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· οὐκ
ἀρεςόν ἐςιν ἡμᾶς, καταλείψαντας τὸν λόγον
3. τοῦ θεοῦ, διακονεῖν τραπέζαις. ἐπισκέψα-
σθε οὖν, ἀδελφοὶ, ἄνδρας ἐξ ὑμῶν μαρτυ-
ρουμένους ἑπτὰ, πλήρεις πνεύματος ἁγίου
καὶ σοφίας, οὓς * καταςήσομεν ἐπὶ τῆς
χρείας

VI, 1. ΙΖ. κυριακῇ γ. τῶν μυροφόρων· [ἐν ἄλλοις· ἰουλίου κη.] ἐ. τ. ἡ. ἐ. πληθυνόντων.

ligenda funt. Ex fcholio Ammonii apud Wetft. hoc faltem difcitur, eum nec χριςοῦ, nec ἰησοῦ, nec κυρίου legiffe. (Ceterum apud Wetft. corrigendum καθολικῷ.) Credo tamen, eum legiffe αὐτοῦ, quod ipfum appellat καθολικόν. Orig. I, 276. 421. αὐτοῦ fervat. Bafil. M. II, 140. a. unus tamen Cod. χριςοῦ. Sed 573. a. nulla eft varietas.

VI, 2. καταλείψαντας] καταλιπόντας. E. Chryf. IX, 111. 114. quod aor. 2. ufitatior eft.

3. ἐπισκέψασθε] ἐπιλέξασθε ˙t ἐκλέξασθε. E. Interpretationes, vel ex verf. 5.

ἁγίου] — E. Chryf. IX, 111.

καταςήσωμεν] καταςήσομεν.

χρείας ταύτης· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ 4.
τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.
καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλή- 5.
θους· καὶ ἐξελέξαντο ςέφανον, ἄνδρα πλήρη
πίςεως καὶ πνεύματος ἁγίου, καὶ Φίλιππον,
καὶ πρόχορον, καὶ νικάνορα, καὶ τίμωνα, καὶ
παρμενᾶν, καὶ νικόλαον προσήλυτον ἀ'τιο-
χέα, οὓς ἔςησαν ἐνώπιον τῶν ἀποςόλων· 6.
καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖ-
ρας. καὶ ὁ λόγος τοῦ θεοῦ ηὔξανε, καὶ 7.
ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν ἱερου-
σαλὴμ σφόδρα, πολύς τε ὄχλος τῶν ἱερέων
Τέλος τῆς κυριακῆς. ὑπήκουον τῇ πίςει. [Τέλος.]

Η. Ἰουδαίων ἐπαναςάσις καὶ συκοφαντία κατὰ ςεφάνου, αὐτοῦ τε δημηγορία περὶ τῆς πρὸς ἀβραὰμ διαθήκης τοῦ θεοῦ, καὶ περὶ τῶν δώδεκα πατριαρχῶν. ἐν ᾧ τὰ περὶ τῆς λιμοῦ καὶ πυρωνίας καὶ ἀναγνωρισμοῦ τῶν υἱῶν ἰακὼβ, καὶ περὶ γενέσεως μωυσέως, καὶ τῆς πρὸς αὐτὸν μωυσέα θεοφανείας ἐν ὄρει σινᾶ γενομένης. περὶ τῆς ἐξόδου καὶ μοσχοποιΐας τοῦ ἰσραὴλ ἄχρι χρόνων σολομῶνος καὶ τῆς τοῦ ναοῦ κατασκευῆς. ὁμολογία τῆς ὑπερουρανίου δόξης ἰησοῦ χριςοῦ, ἀποκαλυφθείσης αὐτῷ, ἐφ' ᾗ λιθόλευςος γενόμενος ςέφανος ἐυσεβῶς ἐκοιμήθη.

[Ἀρχή.] ςέφανος δὲ πλήρης πίςεως καὶ δυ- 8. ΙΗ.
νάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα
ἐν

VI, 8. ΙΗ. τῇ β. τῆς γ. ἑβδ. καὶ εἰς τὸν ἅγιον πρωτομάρτυρα ςέφανον· ἐ. τ. ἡ. ἐ. ςέφανος πλήρης πίςεως.

4. προσκαρτερήσομεν] προσκαρτερήσωμεν. D. Vulg. Chryf. IX, 111. 114.

5. πλήρη] πλήρης D. Ita et alii notarunt, atque ipfe etiam reperi. Simile fere Io. 1, 14. Sic diceretur ἀπολύτως, nulla habita ratione τοῦ ἄνδρα.

7. τοῦ θεοῦ] τοῦ κυρίου. E. Ita ex Chryf. IX, 112. a.

ut

9. ἐν τῷ λαῷ. ἀνέςησαν δέ τινες τῶν ἐκ τῆς
συναγωγῆς τῆς λεγομένης λιβερτίνων, καὶ
κυρηναίων, καὶ ἀλεξανδρέων, καὶ τῶν ἀπὸ
κιλικίας καὶ ἀσίας, συζητοῦντες τῷ ςεφάνῳ·
10. καὶ οὐκ ἴσχυον ἀντιςῆναι τῇ σοφίᾳ καὶ τῷ
11. πνεύματι ᾧ ἐλάλει. τότε ὑπέβαλον ἄνδρας
λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος
ῥήματα βλάσφημα εἰς μωυσῆν καὶ τὸν θεόν.
12. συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς πρεσβυ-
τέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιςάντες
συνήρπασαν αὐτὸν, καὶ ἤγαγον εἰς τὸ συν-
δὲ τὸ ὅραμα ἔιδεν, ἐυθέως ἐζητήσαμεν ἐξελ-
θεῖν ἐις τὴν μακεδονίαν, συμβιβάζοντες, ὅτι
προσκέκληται ἡμᾶς ὁ κύριος ἐυαγγελίσασθαι
ἀυτούς· ἀναχθέντες ὄυν ἀπὸ τῆς τρωάδος, 11.
ἐυθυδρομήσαμεν ἐις σαμοθράκην, τῇ τε ἐπιού-
σῃ ἐις νεάπολιν· ἐκεῖθέν τε ἐις φιλίππους, 12.
ἥτις ἐστὶ πρώτη τῆς μερίδος τῆς μακεδονίας
πόλις,

ſervant tres. Quartus, ſeu 13. ſaepius aberrat. Birch. ex uno ſolum notat ἐις.

πνεῦμα] + τοῦ ἰησοῦ. E. Quatuor, quos poſtea conſului, non agnoſcunt. Habet ergo ex omnibus meis unus tantum, qui ceterorum auctoritatem, cum ſaepius diſcedat a vero, non tollit. v. P. Omittit etiam Chryſ. Opus erat illo vocabulo ad diſputationes contra ſic dictos haereticos. Dogmatice! Critici indignantur fraudes.

9. ἀνὴρ] Semel vulg. Chryſ. IX, 263. e. ſemel 265. καὶ ἰδοὺ, φησὶν, ἀνήρ.

10. κύριος] θεός. E. Griesbachius ad hunc locum: *ſaepiſſime haec* (θεὸς et κύριος) *permutantur in Actis Apoſt.* Addendum erat, *in Codd. Latiniſtarum et graecis, qui ex Latinis ſunt interpolati.* Praeſentit iam locos aliquos, quorum cauſſa haec ſcripſit. Ex meis hic nullus habet θεὸς praeter l. et ex illis quatuor unus, qui eſt minoris et hic, et alibi auctoritatis. Eum aliquando appellabo 13. Non ex ſingulis locis ſpectandi et aeſtimandi ſunt Codices, ſed ex contextus perpetuitate.

πόλις, κολώνια. ἦμεν δὲ ἐν * αὐτῇ τῇ πόλει
13. διατρίβοντες ἡμέρας τινάς. τῇ τε ἡμέρᾳ
τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πόλεως
παρὰ ποταμὸν, ὃυ ἐνομίζετο προσευχὴ ἔιναι·
καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθού-
14. σαις γυναιξί. καί τις γυνὴ ὀνόματι λυδία,
πορφυρόπωλις, πόλεως θυατείρων, σεβομένη
τὸν θεὸν, ἤκουεν· ἧς ὁ κύριος διήνοιξε τὴν
καρδίαν, προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ
15. παύλου. ὡς δὲ ἐβαπτίσθη, καὶ ὁ ὄικος
αὐτῆς, παρεκάλεσε, λέγουσα· ἐι κεκρίκατέ
με πιςὴν τῷ κυρίῳ ἔιναι, ἐισελθόντες ἐις τὸν
ὄικόν μου, μείνατε. καὶ παρεβιάσατο ἡμᾶς.
ΛΘ. 16. [᾿Αρχή.] ἐγένετο δὲ πορευομένων ἡμῶν ἐις
προσευχὴν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα
πύθω-

XVI, 16. ΛΘ. κυριακῇ ς. του τυφλοῦ· ἱ. τ. ἡ. ἱ. ἐγένετο πορευομένων τῶν ἀποςόλων ἐις προσευχήν.

12. τῆς μερίδος] — E. Chryf. l. l. 264. a. attingit etiam XI, 18[illegible]

κολώνια] κολώνεια. E. Chryf. 264. a. b.

ταύτῃ] αὐτῇ.

13. πόλεως] πύλης. E.

14. ἤκουεν] ἤκουσεν. E. Chryf. IX, 268. e. Idem ibid. ἤνοιξε. Sed rurfus διήνοιξε et ἤνοιξε. 269. 270. Attingit V, 310.

15. ἐβαπτίσθη] + αὐτή. E. Chryf. IX, 296. ibidem, et ὁ ὄικος, et ἡ οἰκία. Item: λέγουσα· κύριοί μου, ἐι. femel etiam omittit ἔιναι. Attingit V, 360. VII, 712.

16. ἐις] + τήν. E. Orig. IV, 389. et mox πύθωνα. Πνεῦμα πύθων et πνεῦμα πύθωνος per fe aeque recte dicitur. Hic de Codd. quaeftio eft.

πύθωνος, ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν
πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς, μαντευο-
μένη. αὕτη κατακολουθήσασα τῷ παύλῳ 17.
καὶ ἡμῖν, ἔκραζε, λέγουσα· οὗτοι οἱ ἄνθρω-
ποι, δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτι-
νες καταγγέλλουσιν * ἡμῖν ὁδὸν σωτηρίας.
τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. διαπο- 18.
νηθεὶς δὲ ὁ παῦλος, καὶ ἐπιστρέψας, τῷ
πνεύματι εἶπε· παραγγέλλω σοι ἐν τῷ ὀνό-
ματι ἰησοῦ χριστοῦ, ἐξελθεῖν ἀπ' αὐτῆς. καὶ
ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. ἰδόντες δὲ οἱ κύριοι 19.
αὐτῆς, ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας
αὐτῶν, ἐπιλαβόμενοι τὸν παῦλον καὶ τὸν
σίλαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς
ἄρχοντας· καὶ προσαγαγόντες αὐτοὺς τοῖς 20.
στρατηγοῖς, εἶπον· οὗτοι οἱ ἄνθρωποι ἐκτα-
ράσσουσιν ἡμῶν τὴν πόλιν, ἰουδαῖοι ὑπάρ-
χοντες. καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ 21.
ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν, ῥω-
μαίοις οὖσι. καὶ συνεπέστη ὁ ὄχλος κατ' 22.
αὐτῶν, καὶ οἱ στρατηγοὶ περιῤῥήξαντες αὐτῶν
τὰ

ἀπαντῆσαι] ὑπαντῆσαι. E. Orig. l. l.

17. κατακολουθήσασα] παρακολουθήσασα. E. Mox τῷ, ante παύλῳ abest Orig. l. l.

καὶ ἡμῖν] Id obscurum erat in lectione ecclesiastica. Ergo: καὶ τῷ σίλᾳ.

ὑμῖν ὁδὸν] ἡμῖν ὁδόν. Orig. l. l. ὅτι οὗτοι — ἡμῖν.

19. ἐξῆλθεν] ἐξέλιπεν. E. Correctio graeca, quam in uno inveni.

21. καταγγέλλουσιν] Sic Chrys. IX, 270. sed 271. d. παραδιδόασιν ἡμῖν ἔθη. Ita fere plerumque variat.

23. τὰ ἱμάτια, ἐκέλευον ῥαβδίζειν. πολλάς τε
ἐπιθέντες αὐτοῖς πληγὰς, ἔβαλον εἰς φυλα-
κὴν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφα-
24. λῶς τηρεῖν αὐτούς. ὃς παραγγελίαν τοι-
αύτην εἰληφὼς, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσω-
τέραν φυλακὴν, καὶ τοὺς πόδας αὐτῶν ἠσφα-
25. λίσατο εἰς τὸ ξύλον. κατὰ δὲ τὸ μεσονύ-
κτιον παῦλος καὶ σίλας προσευχόμενοι ὕμνουν
τὸν θεόν· ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι.
26. ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥςε σαλευ-
θῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἀνεῴ-
χθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ
27. πάντων τὰ δεσμὰ ἀνέθη. ἔξυπνος δὲ γε-
νόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας
τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μά-
χαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων
28. ἐκπεφευγέναι τοὺς δεσμίους. ἐφώνησε δὲ
φωνῇ μεγάλῃ ὁ παῦλος, λέγων· μηδὲν πρά-
ξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐν-
29. θάδε. αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ
ἔντρομος γενόμενος προσέπεσε τῷ παύλῳ
καὶ

24. εἰληφὼς] λαβών. E.
25. παῦλος] + τε. E. Cyrill. V, a. 299. mox hic, et verf. 29. σύλας idem. Attingit Orig. I, 216.
προσευχόμενοι] Omittit Bafil. M. II, 384.
26. ἐγένετο μέγας] μέγας ἐγένετο. E. Cyrill. l. l.
τε παραχρῆμα αἱ] δὲ αἱ. E. Cyrill. l. l.
ἀνέθη] ἀνείθη. E. Alibi ex aliis Codd. notavi etiam ἀφείθην. Exempla nota funt.
29. γενόμενος] ὑπάρχων. E. Ita Chryf. IX, 275. vulg. Cyrill. l. l. Attingit etiam Chryf. III, 154. 155. XI, 56. 59. 60. 65. 66.

καὶ τῷ σίλᾳ. καὶ προαγαγὼν αὐτοὺς ἔξω. 30.
ἔφη· κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; οἱ 31.
δὲ εἶπον· πίστευσον ἐπὶ τὸν κύριον ἰησοῦν χρι-
στὸν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. καὶ 32.
ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ κυρίου, καὶ
πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ παρα- 33.
λαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς,
ἔλουσεν ἀπὸ τῶν πληγῶν· καὶ ἐβαπτίσθη
αὐτὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα.
ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ, 34.
παρέθηκε τράπεζαν, καὶ * ἠγαλλιᾶτο παν-
Τέλος τῆς οικὶ πεπιστευκὼς τῷ θεῷ. [Τέλος.] ἡμέ- 35.
κυριακῆς. ρας δὲ γενομένης ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς
ῥαβδούχους, λέγοντες· ἀπόλυσον τοὺς ἀν-
θρώπους ἐκείνους. ἀπήγγειλε δὲ ὁ δεσμο- 36.
φύλαξ τοὺς λόγους τούτους πρὸς τὸν παῦ-
λον· ὅτι ἀπεστάλκασιν οἱ στρατηγοὶ, ἵνα ἀπο-
λυθῆτε. νῦν οὖν ἐξελθόντες, πορεύεσθε ἐν
εἰρήνῃ.

30. αὐτοὺς] + εἰς τό. E. Cyrill. l. l.

31. χριστὸν] — E. Cyrill. l. l.

καὶ ὁ] καὶ πᾶς ὁ. E.

32. καὶ πᾶσι] σὺν πᾶσι. E. Cyrill. l. l.

34. οἶκον αὐτοῦ] αὐτοῦ — E.

ἠγαλλιάσατο] ἠγαλλιᾶτο. Et Chryf. IX, 275. b. 276. d. Sed vulg. Cyrill. l. l. Ita fere alibi in N. Teft. Aorilius.

35. ἀπόλυσον] ἀπέστειλον. E. Operae pretium eft, h. l. evoluere edit. Griesb. p. 126. 127. propter interpretationem Syram et Cod. Weft. D.

37. εἰρήνῃ. ὁ δὲ παῦλος ἔφη πρὸς αὐτούς· δεί-
ραντες ἡμᾶς δημοσίᾳ, ἀκατακρίτους ἀνθρώ-
πους, ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυ-
λακὴν, καὶ νῦν λάθρᾳ ἡμᾶς ἐκβάλλουσιν;
οὐ γάρ· ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγα-
38. γέτωσαν. ἀνήγγειλαν δὲ τοῖς στρατηγοῖς
οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα· καὶ ἐφο-
39. βήθησαν, ἀκούσαντες, ὅτι ῥωμαῖοί εἰσι. καὶ
ἐλθόντες παρεκάλεσαν αὐτοὺς, καὶ ἐξαγα-
40. γόντες ἠρώτων ἐξελθεῖν τῆς πόλεως. ἐξελ-
θόντες δὲ ἐκ τῆς φυλακῆς εἰσῆλθον * πρὸς
τὴν λυδίαν· καὶ ἰδόντες τοὺς ἀδελφοὺς, παρ-
εκάλεσαν αὐτοὺς, καὶ ἐξῆλθον.

37. δείραντες] δήραντες, de quo ſaepius monitum. v. P.
αὐτοὶ ἡμᾶς] ἡμᾶς — A. Credo, hoc a pluribus non animadverſum eſſe, quod ter occurrit.

38. ἀνήγγειλαν] ἀπήγγειλαν. E. vulg. Chryſ. IX, 275. c.

39. ἐλθόντες] ἐξελθόντες. E. Et Chryſ. IX, 275. c.
ἐξελθεῖν] ἀπελθεῖν ἀπό. E. Semel vulg. Chryſ. l. l. ſemel 276. e. καὶ ἠρώτησαν αὐτοὺς ἐξελθεῖν ἀπὸ τῆς πόλεως. Sed ex his contrariis lectionibus Chryſoſtomi, quas tamen omnes mihi notavi, nihil efficitur. Igitur plures ſilentio praetermittenda indicavi, et in hoc, et in aliis libris.

40. ἐκ] — t ἀπό. E.
εἰς τὴν] πρὸς τήν. v. Birch. Ita quoque ii, quos poſt priorem editionem contuli. Sed in uno hic deeſt unum folium. Magnam vim habet, quod hic adeo Mosq. l. et iſte quem 13. appello, conſentiunt. πρὸς cum aliis habet etiam Chryſ. IX, 275. d. v. Wetſt. Si Codices id poſtularent, libenter probarem εἰς. Nam apud LXX. ſaepius eſt εἰσελθεῖν εἰς τινα, de perſona. Locus ſimilis N. Teſt.

ΚΕ. περὶ ςάσεως γενομένης ἐν θεσσαλονίκῃ τοῦ κηρύγματος ἕνεκεν, φυγῆς τε παύλου ἐις βέῤῥοιαν, κἀκεῖθεν ἐις ἀθήνας.

[Ἀρχή.] Διοδεύσαντες δὲ τὴν ἀμφίπολιν XVII, 1.
καὶ ἀπολλωνίαν, ἦλθον ἐις θεσσαλονίκην, M.
ὅπου ἦν ἡ συναγωγὴ τῶν ἰουδαίων. κατὰ 2.
δὲ τὸ ἐιωθὸς τῷ παύλῳ ἐισῆλθε πρὸς αὐ-
τοὺς, καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐ-
τοῖς ἀπὸ τῶν γραφῶν, διανοίγων καὶ πα- 3.
ρατιθέμενος, ὅτι τὸν χριςὸν ἔδει παθεῖν καὶ
ἀναςῆναι ἐκ νεκρῶν, καὶ ὅτι ὁυτός ἐςιν ὁ
χριςὸς ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν.
καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσ- 4.
εκληρώθησαν τῷ παύλῳ καὶ τῷ σίλᾳ τῶν
τε σεβομένων ἑλλήνων πολὺ πλῆθος, γυναι-
κῶν τε τῶν πρώτων ὀυκ ὀλίγαι· * προσ- 5.
λαβόμενοι δὲ οἱ ἰουδαῖοι οἱ ἀπειθοῦντες τῶν
ἀγο-

XVII, 1. M. τῇ β. τῆς ς. ἑβδ. ἑ. τ. ἡ. ἑ. διοδεύσαντες οἱ ἀπόςολοι τὴν ἀμφίπολιν.

nunc non ſuccurrebat. Griesbachius utrumque edidit, impoluitque τὴν ἐις τῇ πρός. Hac impoſtura poſtea habebit opus. Sed iſta aſtutia non erat opus. Quibus enim imponit, *iniquae mentis* ſunt omnes, ac demittunt auriculas. Igitur nec cervices levant, nec calces remittunt. Quomodo vero ſcribae h. l. de regione Lydiae cogitari potuerint. id non intelligo. Mox enim Amphipolis et Apollonia memoratur.

XVII, 2. διελέγετο] διελέξατο t διελέχθη. E. Ita ſemel Chryſ. IX, 281. c. Vulg. 280. a.

5. ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες ἰουδαῖοι καὶ προσλαβόμενοι τῶν ἀγοραίων τινὰς] προσλαβόμενοι δὲ οἱ ἰου-

ἀγοραίων τινὰς ἄνδρας πονηροὺς, καὶ ὀχλο-
ποιήσαντες, ἐθορύβουν τὴν πόλιν· ἐπιςάντες
τε τῇ οἰκίᾳ ἰάσονος, ἐζήτουν αὐτοὺς ἀγαγεῖν
6. εἰς τὸν δῆμον. μὴ εὑρόντες δὲ αὐτοὺς, ἔσυ-
ρον τὸν ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς
πολιτάρχας, βοῶντες· ὅτι οἱ τὴν οἰκουμένην
ἀναςατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν,
7. οὓς ὑποδέδεκται ἰάσων· καὶ οὗτοι πάντες
ἀπέναντι τῶν δογμάτων καίσαρος πράτ-
τουσι, βασιλέα λέγοντες ἕτερον εἶναι, ἰησοῦν.
8. ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρ-
9. χας, ἀκούοντας ταῦτα· καὶ λαβόντες τὸ
ἱκανὸν παρὰ τοῦ ἰάσονος καὶ τῶν λοιπῶν,
10. ἀπέλυσαν αὐτούς. [Τέλος.] οἱ δὲ ἀδελφοὶ Τέλος τῆς β.
εὐθέως διὰ τῆς νυκτὸς ἐξέπεμψαν τόν τε
παῦλον καὶ τὸν σίλαν εἰς βέροιαν· οἵτινες
παραγενόμενοι, εἰς τὴν συναγωγὴν * ἀπήεσαν
11. τῶν ἰουδαίων. οὗτοι δὲ ἦσαν εὐγενέςεροι τῶν
ἐν θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον
μετὰ πάσης προθυμίας, τὸ καθ' ἡμέραν
ἀνακρίνοντες τὰς γραφὰς, εἰ ἔχοι ταῦτα
οὕτω.

ἰουδαῖοι οἱ ἀπειθοῦντες τῶν ἀγοραίων τινάς. Chryf. intulit ζηλώσαντες IX, 280. d. Ipfe id omittit 282. a. Ex Chryfoft. hic pendet vulgata. Ex quatuor, quos poftea comparavi, folus ifte 13. habet ζηλώσαντες, exhibet tamen, οἱ ἰουδ. οἱ ἀπ. Sed quartus, qui hic deficit, incipit demum verf. 18.

10. βέροιαν] βέῤῥοιαν. Apud Steph. de urbb. eft βέροια. Apud Chryf. IX. 281. a. b. et hic et verf. 13. editur βέροια.

τῶν ἰουδαίων ἀπήεσαν] ἀπήεσαν τῶν ἰουδαίων.

11. ἔχοι] ἔχει t ἔχοιεν. E.

οὕτω. πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίςευ- 12.
σαν, καὶ τῶν ἑλληνίδων γυναικῶν τῶν εὐσχη-
μόνων, καὶ ἀνδρῶν οὐκ ὀλίγοι. ὡς δὲ ἔγνω- 13.
σαν οἱ ἀπὸ τῆς θεσσαλονίκης ἰουδαῖοι, ὅτι
καὶ ἐν τῇ βεροίᾳ κατηγγέλη ὑπὸ τοῦ παύ-
λου ὁ λόγος τοῦ θεοῦ, ἦλθον κἀκεῖ, σαλεύον-
τες τοὺς ὄχλους. εὐθέως δὲ τότε τὸν παῦ- 14.
λον ἐξαπέςειλαν οἱ ἀδελφοὶ, πορεύεσθαι ὡς
ἐπὶ τὴν θάλασσαν· ὑπέμενον δὲ ὅ,τε σίλας
καὶ ὁ τιμόθεος ἐκεῖ. οἱ δὲ καθιςῶντες τὸν 15.
παῦλον, ἤγαγον αὐτὸν ἕως ἀθηνῶν· καὶ λα-
βόντες ἐντολὴν πρὸς τὸν σίλαν καὶ τιμό-
θεον, ἵνα ὡς τάχιςα ἔλθωσι πρὸς αὐτὸν,
ἐξήεσαν.

Κϛ. περὶ τῆς ἐν ἀθήναις ἐπιβωμίου γραφῆς, φιλοσόφου τε κηρύγματος καὶ εὐσεβείας τοῦ παύλου.

[Ἀρχή.] ἐν δὲ ταῖς ἀθήναις ἐκδεχομένου 16. ΜΑ.
αὐτοὺς τοῦ παύλου, παρωξύνετο τὸ πνεῦμα
αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν
τὴν

XVII, 16. ΜΑ. εἰς τὸν ἅγιον διονύσιον· ἐν ἄλλοις· τῇ γ. τῆς ϛ. ἑβδ. ἐ. τ. ἡ. ἐ. [ἐν ταῖς ἀθήναις.] ἐκδεχομένου τοῦ παύλου τόν τε σίλαν καὶ τὸν τιμόθεον παρωξύνετο.

13. κἀκεῖ] κἀκεῖσε. E.

σαλεύοντες] + καὶ ταράσσοντες. E.

14. ὡς] — t ἕως. E.

15. ἤγαγον αὐτὸν] ἦλθον t αὐτὸν — E.

16. θεωροῦντι] θεωροῦντος. E. Per ſe non inepte.

17. τὴν πόλιν. διελέγετο μὲν οὖν ἐν τῇ συνα-
γωγῇ τοῖς ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ
ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς
18. παρατυγχάνοντας. τινὲς δὲ * καὶ τῶν
ἐπικουρείων καὶ τῶν ςωϊκῶν Φιλοσόφων συν-
έβαλλον αὐτῷ· καί τινες ἔλεγον· τί ἂν θέ-
λοι ὁ σπερμολόγος οὗτος λέγειν; οἱ δὲ· ξέ-
νων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι· ὅτι
τὸν ἰησοῦν καὶ τὴν ἀνάςασιν αὐτοῖς εὐηγγε-
MB. 19. λίζετο. [Τέλος.] [Ἀρχή.] ἐπιλαβόμενοί τέλος ἐν
τε αὐτοῦ, ἐπὶ τὸν ἄρειον πάγον ἤγαγον, τισι.
λέγοντες· δυνάμεθα γνῶναι, τίς ἡ καινὴ αὕτη
20. ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; ξενίζοντα
γάρ

XVII, 19. MB. τῇ γ. τῆς ς. ἑβδ. ἐν ἄλλοις· εἰς τὸν ἅγιον διονύσιον. ἐ. τ. ἡ. ἐ. ἐπιλαβόμενοι οἱ ἰουδαῖοι (ἐν ἄλλοις· οἱ ἐν ταῖς ἀθήναις.) τοῦ παύλου ἐπὶ τὸν ἄρειον.

17. παρατυγχάνοντας] ἐντυγχάνοντας. E. Nec hoc per ſe ineptum, cum παρατυγχάνοντες ſint ii, qui *caſu. fortuito* occurrunt, incidunt.

18. τινὲς δὲ] + καί.

συνέβαλλον] συνέβαλον t προσέβαλλον. E.

τί ἂν] τίνα. E. Sic et verſ. 20.

ἀνάςασιν] + αὐτοῦ. E. Prorſus inepte. Nam iſti Ἀνάςασιν credebant *deam* eſſe.

αὐτοῖς εὐηγγελίζετο] εὐηγγελίζετο αὐτοῖς. A. αὐτοῖς — D. αὐτοῖς abeſt. Chryſ. IX, 286.

19. ἐπιλαβόμενοι] Hic in lectionariis non nullis in principio lectionis additur, οἱ ἰουδαῖοι. Alia rectius habent, οἱ ἐν ταῖς ἀθήναις.

λέγοντες] + οὖν. E. Hoc omnino in duobus tantum reperi.

γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν.
βουλόμεθα οὖν γνῶναι, τί ἂν θέλοι ταῦτα
εἶναι. ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδη- 21.
μοῦντες ξένοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ
λέγειν τί καὶ ἀκούειν καινότερον. ςαθεὶς 22.
δὲ ὁ παῦλος ἐν μέσῳ τοῦ ἀρείου πάγου,
ἔφη· ἄνδρες ἀθηναῖοι, κατὰ πάντα ὡς δεισι-
δαιμονεςέρους ὑμᾶς θεωρῶ. διερχόμενος 23.
γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν,
εὗρον καὶ βωμὸν, ἐν ᾧ ἐπεγέγραπτο· ἀγνώςῳ
θεῷ· ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον
Ὑπέρβα τοῦ ἁγίου. ἐγὼ καταγγέλλω ὑμῖν. [Ὑπέρβα.] ὁ θεὸς 24.
ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐ-
τῷ, οὗτος οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων,
οὐκ

21. ἕτερον] Basil. M. I, 176. ἄλλο.

22. ἄνδρες — 23. καταγγ. ὑμῖν] Cyrill. I, g. 123. sine varietate. Multoties hunc locum attingit Chrys. II, 596. XI, 408. III, 56. I, 695. II, 112. IV, 10. δεισιδαιμονεςέρους] Chrys. IX, 286. explicat, εὐλαβεςέρους. Alius: πάντα θειάζοντες, καὶ ξύλα καὶ λίθους. v. 25, 19.

23. διερχόμενος] περιερχόμενος. E. Clem. Alex. 588. sed vulg. 314. περιερχόμενος τὰ σεβάσ. Ath. II, 591. qui ibi et alia corrupte exhibet.
ἀναθεωρῶν] Sic Clem. 588. sed 314. ἱςορῶν. Ex hoc Wetst. D. fecit ἀπιςορῶν, quod nihili est. Debebat esse ἀνιςορῶν, quo utitur Sophocl. Trach. p. 342. et alii.
εὗρον καὶ] καὶ — E. Clem. 314. sed vulg. 588.
ἐπεγέγραπτο] ἀνεγέγραπτο. E. Clem. sed et vulg. ll. ll. ἐγέγραπτο. Orig. IV, 167. et mox ὃ οὖν — τοῦτο ἐγώ.

24. κύριος ὑπάρχων] ὑπάρχ. κύρ. E. Clem. 314. vulg. 584. Ex eo ergo efficitur — nihil.

25. οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ
ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, προσ-
δεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ
26. πνοὴν * κατὰ πάντα, ἐποίησέ τε, ἐξ ἑνὸς
αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ
πᾶν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας * προσ-
τεταγμένους καιρούς, καὶ τὰς ὁροθεσίας τῆς
27. κατοικίας αὐτῶν· ζητεῖν τὸν κύριον, εἰ ἄρα
γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν· * καίγε
οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάϛου ἡμῶν ὑπάρχον-
τα.

25. ἀνθρώπων] ἀνθρωπίνων. E. Clem. Alex. 315. et mox δούς. 584. ἀνθρωπίνων, sed διδούς.

καὶ τὰ πάντα] κατὰ πάντα. Ita omnes omnino mei habent, etiam illi quatuor, quos postremo consului. v. Wetst. Birch. Chrys. IX, 287. c. 289. c. καὶ τὰ πάντα. Item Clem. Alex. 315. et 584. πνοὴν καὶ ζωὴν καὶ τὰ πάντα.

26. αἵματος] — E. Clem. l. l. mox γένος, loco ἔθνος, et ἐπὶ παντὸς προσώπου.

ἔθνος] γένος. E. Ex vers. 28. 29.

προτεταγμένους] προστεταγμένους. Clem. l. l. Chrys. IX, 287. c. 289. e. 290. a. τεταγμένους habet Mosq. l. non d. Error est typothetae. Sic habet etiam iste 13. Reliqui tres προστεταγμένους. In his unus etiam in scholiis. v. P.

27. τὸν κύριον] τὸ θεῖον. E. ex vers. 29. Clem. l. l. mox ψηλ. ἢ εὕροιεν ἄν, et ὑπάρχοντος.

κύριον] θεόν. D. v. P. Et Chrys. IX, 287. c. 290. a. Ex posterius examinatis duo θεὸν, duo κύριον.

καίτοιγε] καίγε. v. Birch. Wetst. Vulgatum Chrys. l. l. 287. c. 290. b.

ὑπάρχοντα] ἀπέχοντα. E. Eleganter! Id etiam postea in uno reperi. Inveni etiam ὑπάρχοντος, quod ipsum non absurdum est.

τα. ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, 28.
Τέλος τῆς γ. καὶ ἐσμέν· [Τέλος.] ὥς καί τινες τῶν καθ'
ὑμᾶς ποιητῶν εἰρήκασι· τοῦ γὰρ καὶ γένος
ἐσμέν. γένος οὖν ὑπάρχοντες τοῦ θεοῦ, 29.
οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ
λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως
Ἄρξου τοῦ ἁγίου. ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον. [Ἄρξου.] 30.
τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν
ὁ θεὸς, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις
πᾶσι πανταχοῦ μετανοεῖν· διότι ἔςησεν 31.
ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν
δικαιοσύνῃ, ἐν ἀνδρὶ, ᾧ ὥρισε, πίςιν παρα-
σχὼν πᾶσιν, ἀναςήσας αὐτὸν ἐκ νεκρῶν.
ἀκούσαντες δὲ ἀνάςασιν νεκρῶν, οἱ μὲν ἐχλέ- 32.
υαζον, οἱ δὲ εἶπον· ἀκουσόμεθά σου πάλιν
περὶ

28. ποιητῶν] Servat etiam Orig. IV, 167. Quinque infignes et probabiles varietates Cod. Wetſt. D. in hoc uno verſu vide apud Wetſt.

29. νομίζειν] — E. Cyrill. V, a. 670. mox abeſt λίθῳ, et: ἢ ἐνθυμ. Servato νομίζειν, omittit ἢ λίθῳ Ath. II, 452. Mox idem ἀνθρώπων. Attingit etiam Chryſ. IV, 61. d.

30. πᾶσι] πάντας. E. Ath. I, 195. Sed II, 514. θεὸς παραγγέλλει πᾶσιν. Cyrill. III, 573. V, a. 372. V, c. 167. τανῦν πᾶσιν ἀνθρ. παραγγ. μετ. VI, a. 14.

31. διότι] καθότι. E. Ath. I, 195. II, 386. 514. Cyrill. III, 573. ὅτι ἔςησεν ἡμέρα. (immo, ἡμέραν.) V, a. 372. καθότι ὥρισεν ἡμέραν κρίσεως. V, c. 167. διότι Chryſ. IX, 369. καθότι XII, 86. Licet ergo eligere, διότι, καθότι, ὅτι. Nos Codices ſequimur. Bis hoc verſu inculcat ὁ θεὸς Ath. II, 386.

μέλλει κρίνειν] κρινεῖ. E. Cyrill. V, a. 372.

33. περὶ τούτου. καὶ οὕτως ὁ παῦλος ἐξῆλ-
34. θεν ἐκ μέσου αὐτῶν. τινὲς δὲ ἄνδρες κολ-
ληθέντες αὐτῷ, ἐπίςευσαν· ἐν οἷς καὶ διονύσιος ὁ ἀρεοπαγίτης, καὶ γυνὴ, ὀνόματι δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς. [Τέλος.] Τέλος τοῦ ἁγίου διονυσίου.

ΚΖ. περὶ ἀκύλα καὶ πρισκίλλης. τῆς τε κορινθίων ἀπειθείας καὶ τῆς κατὰ πρόγνωσιν ἐπ' αὐτοῖς εὐδοκίας τοῦ θεοῦ, ἀποκαλυφθείσης τῷ παύλῳ. ἐν ᾧ, περὶ κρίσπου ἀρχισυναγώγου, πιςεύσαντος σὺν ἑτέροις τισὶ καὶ βαπτισθέντος. ὅτι ςάσεως κινηθείσης ἐν κορίνθῳ, παῦλος ὑπανεχώρησεν, ἐλθὼν δὲ εἰς ἔφεσον καὶ διαλεχθεὶς ἐξῆλθε. περὶ ἀπολλὼ, ἀνδρὸς λογίου τε καὶ πιςοῦ.

XVIII, 1. Μετὰ δὲ ταῦτα [Ἀρχή.] χωρισθεὶς ὁ παῦ-
MB. λος ἐκ τῶν ἀθηνῶν, ἦλθεν εἰς κόρινθον,
2. [Ὑπέρβα.] καὶ εὑρών τινα ἰουδαῖον, ὀνόματι ἀκύλαν, ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς ἰταλίας, καὶ πρίσκιλλαν, γυναῖκα αὐτοῦ, διὰ τὸ διατεταχέναι κλαύδιον, χωρίζεσθαι πάντας τοὺς ἰουδαίους Ὑπέρβα τῆς ια.
3. ἐκ τῆς ῥώμης, προσῆλθεν αὐτοῖς, καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενε παρ' αὐτοῖς, καὶ εἰργάζετο· ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην.
[Ἄρξου.]

XVIII, 1. MB. μαΐου ια. ἔν τισιν· ἐν ἄλλοις· τῇ γ. τῆς ς. ἑ. τ. ἡ. κ. χωρισθείς.

34. ἀρεοπαγίτης] Birch. notat, in Vat. 10. hic additum esse, ὁ πολυςάθεια. Hoc monstri simile. Adiecta credo in laudem Dionysii, cuius isti praeclari scilicet libri feruntur. Voluit autem scribere: ὁ πολὺς τὰ θεῖα. Succurrit nunc Cinnami locus pag. 67. ἀνδρὸς ἱεροῦ καὶ πολλοῦ τὴν ἀρετήν. Pluribus exemplis in re nota non est opus.

XVIII, 2. διατεταχέναι] τεταχέναι 1 προστεταχέναι. E.

Ἄρξου τῆς [Ἄρξου.] διελέγετο δὲ ἐν τῇ συναγωγῇ κα- 4.
ια. τὰ πᾶν σάββατον, ἔπειθέ τε ἰουδαίους καὶ
Ὑπέρβα τῆς ἕλληνας. [Ὑπέρβα.] ὡς δὲ κατῆλθον ἀπὸ 5.
ια. τῆς μακεδονίας ὅ,τε σίλας καὶ ὁ τιμόθεος,
συνείχετο τῷ πνεύματι ὁ παῦλος, διαμαρ-
τυρόμενος τοῖς ἰουδαίοις τὸν χριςὸν ἰησοῦν.
ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούν- 6.
των, ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς
αὐτούς· τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν
ὑμῶν· καθαρὸς ἐγὼ, ἀπὸ τοῦ νῦν εἰς τὰ
ἔθνη

5. συνείχετο] συνείργετο. E. Inepta interpretatio. Συνείργειν nullibi in N. Teſt. occurrit. Fortaſſe volebat διηγείρετο ex Chryſoſtomo. Vide mox. Aut συνηγείρετο.

πνεύματι] λόγῳ. E. Nullus bonus Cod. repertus eſt, qui ita haberet. Chryſ. IX, 295. d. vulg. v. Wetſt. Locus Theodoreti eſt ad epiſt. Paul. p. 5. Credo, per incogitantiam fictum eſſe ex διελέγετο κ. τ. λ. verſ. 4. Interpretationes Latiniſtarum abſurdae ſunt. Quomodo enim reddi poſſit, *inſtabat verbo. ſermoni, premebatur verbo?* Qui *inſtare* reddiderunt, fortaſſe in mente habuerunt συνετείνετο τῷ λόγῳ, *contendebat oratione.* Si autem omnino probandum ſit, τῷ λόγῳ, tamen pro ſynonymo accipiendum erit τοῦ τῷ πνεύματι, τῇ διανοίᾳ, i. e. *mente urgebatur,* atque ita ad dicendi libertatem incitabatur. Sic παρωξύνετο τὸ πνεῦμα, pro quo dici quoque poterat, τῷ πνεύματι. 17, 16. quodque Chryſ. IX, 288 a. interpretatur διέγειρειν, ζῆλον et διηγείρετο. Quid, ſi λόγῳ in Theodoretum venerit a priore editore? Adiecta enim eſt interpretatio Vulgatae: *inſtabat verbo.*

ἰουδαίοις] + ἰησοῦ. E. Ex verſ. 28.

7. ἔθνη πορεύσομαι. καὶ μεταβὰς ἐκεῖθεν,
ἦλθεν εἰς οἰκίαν τινὸς, ὀνόματι ἰούςου, σεβο-
μένου τὸν θεὸν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα
8. τῇ συναγωγῇ. κρίσπος δὲ ὁ ἀρχισυνάγω-
γος ἐπίςευσε τῷ κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ
αὐτοῦ· καὶ πολλοὶ τῶν κορινθίων ἀκούοντες
9. ἐπίςευον, καὶ ἐβαπτίζοντο. [Ἄρξου.] εἶπε Ἄρξου τῆς
δὲ ὁ κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ παύ- ια.
λῳ· μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιω-
10. πήσῃς· διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ
οὐδεὶς ἐπιθήσεταί σοι, τοῦ κακῶσαί σε· διότι
λαός ἐςί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ.
11. ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἕξ, διδάσκων
ἐν αὐτοῖς τὸν λόγον τοῦ θεοῦ. [Τέλος.] Τέλος τῆς
12. γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς ἀχαΐας, ια.
κατεπέςησαν ὁμοθυμαδὸν οἱ ἰουδαῖοι τῷ
παύλῳ, καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα,
λέγον-

7. ἰούςου] τίτου. E. v. P. et Chryſ. XI, 729. nota a.
συνομοροῦσα] Pro eo ex Wetſt. A. D. laudatur συνορooῦσα. Ades, Stephane! Theſauros tuos locupleta. Vox ἅπαξ λεγομένη. Mirabile autem eſt, duos Codices in tam ſingulari ac proprio vitio conſentire. Chryſ. IX, 295. e. explicat, ἦν ὁμοροῦσα, ἐγειτνίαζεν.

8. κρίσπος] hunc et Soſthenem pro uno habet Chryſ. IX, 297. d.
ἀκούοντες] ἀκούσαντες. E.

9. σιωπήσῃς] σιώπα. E. Cyrill. IV, 1. Sed vulg. Theodoret. ad epiſtr Pauli p. 163.

12. ἀνθυπατεύοντες] ἀνθυπάτου ὄντος. E. Quia Latiniſtae per *verbum* id reddere non potuerant. Ex ἀποπάτου, hoc eſt, ex Cod. B. adeo profertur, ἀντιπάτου.

λέγοντες· ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπεί- 13.
θει τοὺς ἀνθρώπους σέβεσθαι τὸν θεόν.
μέλλοντος δὲ τοῦ παύλου ἀνοίγειν τὸ ςόμα, 14.
εἶπεν ὁ γαλλίων πρὸς τοὺς ἰουδαίους· εἰ μὲν
οὖν ἦν ἀδίκημά τι ἢ ῥαδιούργημα πονηρὸν,
ὦ ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν·
εἰ δὲ ζήτημά ἐςι περὶ λόγου καὶ ὀνομάτων 15.
καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί·
κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι.
καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος. 16.
ἐπιλαβόμενοι δὲ πάντες οἱ ἕλληνες σωσθένην 17.
τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ
βήματος· καὶ οὐδὲν τούτων τῷ γαλλίωνι
ἔμελεν. ὁ δὲ παῦλος ἔτι προσμείνας ἡμέ- 18.
ρας ἱκανὰς, τοῖς ἀδελφοῖς ἀποταξάμενος,
ἐξέπλει εἰς τὴν συρίαν, καὶ σὺν αὐτῷ πρίσ-
κιλλα καὶ ἀκύλας, κειράμενος τὴν κεφαλὴν
ἐν κεγχρεαῖς· εἶχε γὰρ εὐχήν. κατήντησε 19.
δὲ εἰς ἔφεσον, * καὶ ἐκείνους κατέλιπεν αὐ-
τοῦ· αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν,
διελέχθη τοῖς ἰουδαίοις. ἐρωτώντων δὲ 20.
αὐτῶν, ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐ-
τοῖς, οὐκ ἐπένευσεν· ἀλλ' ἀπετάξατο αὐ- 21.
τοῖς,

17. ἕλληνες] — t ἰουδαῖοι. E. v. P. Attingit Chryſ. XII, 3. qui IX, 296 c. etiam vulg. habet. Ἕλληνες cum aliis etiam exhibet Theodoret. ad epiſt. Pauli p. 165. Mei omnino omnes habet ἕλληνες. Birch, in uno B. non invenit. v. Sabat.

19. κἀκείνους] καὶ ἐκείνους.

τοῖς, ἐιπών· δεῖ με πάντως τὴν ἑορτὴν τὴν
ἐρχομένην ποιῆσαι ἐις ἱεροσόλυμα· πάλιν δὲ
ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ θεοῦ θέλοντες.
22. κὴ ἀνήχθη ἀπὸ τῆς ἐφέσου. [Τέλος.] κὴ Τέλος ἐν
ΜΓ. [Ἀρχή.] κατελθὼν ἐις καισάρειαν, ἀναβὰς, τισι.
κὴ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη ἐις
23. ἀντιόχειαν. κὴ ποιήσας χρόνον τινὰ, ἐξ-
ῆλθε διερχόμενος καθεξῆς τὴν γαλατικὴν
χώραν κὴ φρυγίαν, ἐπιςηρίζων πάντας
24. τοὺς μαθητάς. ἰουδαῖος δέ τις, ἀπολλὼς
ὀνόματι, ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος,
κατήντησεν ἐις ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς
25. γραφαῖς. ὅυτος ἦν κατηχημένος τὴν ὁδὸν
τοῦ κυρίου· κὴ ζέων τῷ πνεύματι, ἐλάλει
κὴ

XVIII, 22. ΜΓ. τῇ δ. τῆς ς. ἑβδ. καὶ ἰαννουαρίου ζ. ἐ. τ. ἡ. ἐ. κατελθὼν ὁ παῦλος ἐις καισάρειαν.

21. δεῖ με — ἱεροσόλυμα] — E. Habet cum aliis Chryſ. IX, 302. a. Habent mei omnes, praeter illum 13. qui ita exhibet: ἀλλ' ἀποταξάμενος ἀυτ. καὶ ἐιπὼν, πάλιν ἀνακάμψω. Ita ad verbum legitur in ſchol. v. P. 332,

ἀνακάμψω] ἀνακρκάψω. Wetſt. D. Arrige aures, Stephane!

ἐφέσου] + τὸν δὲ ἀκύλαν ἔιασεν ἐν ἐφέσῳ. Id unus ex meis addit ante finem lect. eccl., quas notare ſolet. Eſt autem in iſto Cod. lect. μ. ſeu 40. Similis appendix ſupra 15, 34.

22. κατελθὼν] καταβάς. E. Ita ſemel Chryſ. IX, 303. d. ſed vulg. 302. a.

24. ἀπολλὼς] Alii ἀπολλῶς. De ἀπολλὼς et ἀπελλῆς. v. Theophyl. p. 142, et Oecum. I, 142.

25. τὴν ὁδὸν] τὸν λόγον. E.

καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ κυρίου,
ἐπιςάμενος μόνον τὸ βάπτισμα ἰωάννου.
οὗτός τε ἤρξατο παῤῥησιάζεσθαι ἐν τῇ συν- 26.
αγωγῇ· ἀκούσαντες δὲ αὐτοῦ ἀκύλας καὶ
πρίσκιλλα, προσελάβοντο αὐτὸν, καὶ ἀκρι-
βέςερον αὐτῷ ἐξέθεντο τὴν τοῦ θεοῦ ὁδόν.
βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν ἀχαΐαν, 27.
προτρεψάμενοι οἱ ἀδελφοὶ, ἔγραψαν τοῖς μα-
θηταῖς, ἀποδέξασθαι αὐτόν· ὃς παραγενόμε-
νος, συνεβάλετο πολὺ τοῖς πεπιςευκόσι, διὰ
τῆς χάριτος. εὐτόνως γὰρ τοῖς ἰουδαίοις 28.
διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνὺς διὰ τῶν
Τέλος τῆς δ. γραφῶν, εἶναι τὸν χριςὸν ἰησοῦν. [Τέλος.]

ΚΗ. περὶ βαπτίσματος καὶ τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς, δοθείσης διὰ προσευχῆς παύλου τοῖς ἐν ἐφέσῳ πιςεύσασι, καὶ περὶ ἰάσεως τοῦ λαοῦ. ἐν ᾧ, περὶ τῶν υἱῶν σκευᾶ, ὅτιπερ οὐ δεῖ ἐγχειρεῖν ἀπίςοις καὶ ἀναξίοις τῆς πίςεως γενομένοις, καὶ περὶ ἐξομολογήσεως τῶν πιςευόντων. περὶ τῆς ἐν ἐφέσῳ κινηθείσης ςάσεως ὑπὸ δημητρίου τοῦ ἀργυροκόπου κατὰ τῶν ἀποςόλων.

['Αρχή.] Ἐγένετο δὲ ἐν τῷ τὸν ἀπολλὼ XIX, 1.
εἶναι ἐν κορίνθῳ, παῦλον διελθόντα τὰ ΜΔ.
ἀνωτε-

XIX, 1. ΜΔ. τῇ ϛ. τῆς ϛ. ἑβδ. καὶ εἰς τὴν σύναξιν τοῦ προδρόμου, ἰαννουαρίου ζ. καὶ τῇ ἐπαύριον τῶν φώτων. ἐ. τ. ἡ. ἐ. ἐγένετο ἐν τῷ τὸν ἀπολλώ.

26. τὴν τοῦ θεοῦ ὁδὸν] τὸν λόγον τοῦ κυρίου t τὸν λόγον τοῦ θεοῦ t τὴν ὁδὸν τοῦ θεοῦ. E.

28. ἐπιδεικνὺς] Ita ſemel Chryſ. IX, 302. ſed ἐπιδεικνύων 303, 8, ubi etiam διακατηλέγχετο explicat, ἐπεςόμιζε.

XIX, 1. ἀπολλὼ] Alii ἀπολλῶ, alii ἀπολλών.

ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρὼν
2. τινας μαθητὰς, εἶπε πρὸς αὐτούς· εἰ
πνεῦμα ἅγιον ἐλάβετε πιςεύσαντες; οἱ δὲ
εἶπον πρὸς αὐτόν· ἀλλ' οὐδὲ, εἰ πνεῦμα ἅγιόν
3. ἐςιν, ἠκούσαμεν. εἶπέ τε πρὸς αὐτούς· εἰς
τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον· εἰς τὸ
4. ἰωάννου βάπτισμα. εἶπε δὲ παῦλος· ἰωάν-
νης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ
λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν
ἵνα πιςεύσωσι, τουτέςιν, εἰς τὸν χριςὸν ἰησοῦν.
5. ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα
6. τοῦ κυρίου ἰησοῦ. καὶ ἐπιθέντος αὐτοῖς
τοῦ παύλου τὰς χεῖρας, ἦλθε τὸ πνεῦμα
τὸ ἅγιον ἐπ' αὐτούς· ἐλάλουν τε γλώσσαις,
7. καὶ προεφήτευον. ἦσαν δὲ οἱ πάντες ἄν-
8. δρες ὡσεὶ δεκαδύο. εἰσελθὼν δὲ εἰς τὴν
συναγωγὴν, ἐπαῤῥησιάζετο, ἐπὶ μῆνας τρεῖς
διαλεγόμενος, καὶ πείθων τὰ περὶ τῆς βα-
9. σιλείας τοῦ θεοῦ. [Τέλος.] ὡς δέ τινες Τίλος τῆς γ.
ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες
τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποςὰς ἀπ'
αὐτῶν, ἀφώρισε τοὺς μαθητὰς, καθ' ἡμέ-
ραν

ἐλθεῖν] κατελθεῖν. E.

τινὰς] δυοκαίδεκα. E. Theodoret. ad epiſt. Paul. p. 400. Ex verſu 7.

2. Attingit Orig. IV, 133. Ath. II, 456. Chryſ. II, 371, 463. VIII, 99. Cyrill. V, a. 633.

3. πρὸς αὐτοὺς] — E.

8. μῆνας] ἡμέρας. E. Unus meorum ſolum in marg. notat, alter, quem poſtea conſului, habet in textu.

ραν διαλεγόμενος ἐν τῇ σχολῇ τυράννου τι-
νός. τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο· ὥςε 10.
πάντας τοὺς κατοικοῦντας τὴν ἀσίαν ἀκοῦ-
σαι τὸν λόγον τοῦ κυρίου ἰησοῦ, ἰουδαίους τε
καὶ ἕλληνας. δυνάμεις τε οὐ τὰς τυχού- 11.
σας ἐποίει ὁ θεὸς διὰ τῶν χειρῶν παύλου·
ὥςε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι 12.
ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίν-
θια, καὶ ἀπαλλάσσεσθαι ἀπ᾽ αὐτῶν τὰς
νόσους, τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχε-
σθαι ἀπ᾽ αὐτῶν. ἐπεχείρησαν δέ τινες ἀπὸ 13.
τῶν περιερχομένων ἰουδαίων ἐξορκιςῶν ὀνομά-
ζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πο-
νηρὰ τὸ ὄνομα τοῦ κυρίου ἰησοῦ, λέγοντες·
ὁρκίζομεν ὑμᾶς τὸν ἰησοῦν, ὃν ὁ παῦλος κη-
ρύσσει. ἦσαν δέ τινες υἱοὶ σκευᾶ, ἰουδαίου, 14.
ἀρχιερέως, ἑπτά, οἱ τοῦτο ποιοῦντες. ἀπο- 15.
κριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν, εἶπε· τὸν
ἰησοῦν

10. ἰησοῦ] — E.

12. ἐπιφέρεσθαι] ἀποφέρεσθαι. E. Ex proximo ἀπό. Ex hoc verſu Theodoret. ad epiſt. Paul. p. 245. habet, ὁ χρὼς τῶν ἱματίων. Forte voluit ἱδρώς.
ἐξέρχεσθαι] ἐκπορέυεσθαι. E.
ἀπ᾽ αὐτῶν] — E.

13. τινες] + καί. E.
ἀπὸ] — E.
ὁρκίζομεν] ἐξορκίζομεν t ὁρκίζω t ἐξορκίζω. E.
ὁ παῦλος] ὁ — D. Chryſ. IX, 309. a. 312. d.

14. δέ τινες] δέ τινος. E. Id, etſi contrarium ſit Codd., tamen probavit Bengel. Hoc teneri debet ad proxima.

ἰησοῦν γινώσκω, καὶ τὸν παῦλον ἐπίςαμαι·
16. ὑμεῖς δὲ τίνες ἐςέ; καὶ ἐφαλλόμενος ἐπ'
αὐτοὺς ὁ ἄνθρωπος, ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ
πονηρὸν, καὶ κατακυριεύσας αὐτῶν, ἴσχυσε
κατ' αὐτῶν, ὥςε γυμνοὺς καὶ τετραυματισ-
μένους

16. πονηρὸν καὶ] καὶ — E.

κατακυριεύσας] κατακυριεῦσαν. E. Duo meorum exhibent etiam: πονηρὸν κατεκυρίευσεν αὐτῶν καὶ ἴσχυσε. Unus ex eis mox etiam τετραχηλισμένους, loco τετραυματισμένους habet. Alter eſt iſte l. alter 13.

αὐτῶν prius] ἀμφοτέρων. E. Velim ſcire, qui ſint iſti ἀμφότεροι. Millius in Prolegg. §. 974. accipit de Sceva patre et ſeptem eius filiis. Bengel. in Gnom. ita expedire laborat: Septem filii Scevae id facere ſolebant: *duo* id fecerunt in hoc caſu, quem Lucas memorat, coll. v. 13. ubi τῶν *iis* ſpectat ad ſeptem: τινὲς, *quidam*, ad duos. Hactenus Beng. Credo, hic vitium eſſe typographicum in vocabulis, τῶν *iis*. Forte ſcripſerat, τῶν, *ex iis*, aut, *eorum*. Quantum equidem intelligo, verſus 13. prorſus non agit de Scevae filiis, ſed de exorciſtis in genere, qui multi videntur fuiſſe inter ſuperſtitioſos iſtos homines. Ex iis nominatim appellat ſeptem verſu 14. Ergo τινὲς verſu 13 ſunt potius ſeptem, quam duo. Unde autem Bengelius cognoverit, iſtos, neſcio quos, τινὲς omnino fuiſſe *duos*, id expiſcari non potui, niſi ex vocabulo ἀμφοτέρων, de quo tamen dubitabatur, id violenter extorſerit. Accedit, quod verſu 14. loco τινὲς, legit τινός. Ergo nullum iam reſtat τινὲς, quod *duos iſtos* ſignare poſſit. Expectandum eſt ergo, dum aliquis Tupius totum locum ita correxerit: ἐφαλλόμενος ἐξ αὐτῆς (τινὶ αὐτῶν) ὁ ἄνθρωπος — πονηρὸν, κατεκυρίευσε (τὸ πνεῦμα τὸ πονηρὸν) ἀμφοτέρων (τοῦ τε ἐξορκιςοῦ καὶ τοῦ ἀνθρώπου) καὶ ἴσχυσε.

μένους ἐκφυγεῖν ἐκ τοῦ ὄικου ἐκείνου. τοῦτο 17.
δὲ ἐγένετο γνωςὸν πᾶσιν, ἰουδαίοις τε καὶ
ἕλλησι, τοῖς κατοικοῦσι τὴν ἔφεσον· καὶ ἐπέ-
πεσε φόβος ἐπὶ πάντας αὐτοὺς, καὶ ἐμεγα-
λύνετο τὸ ὄνομα τοῦ κυρίου ἰησοῦ, πολλοί 18.
τε τῶν πεπιςευκότων ἤρχοντο, ἐξομολογού-
μενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐ-
τῶν. ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάν- 19.
των, συνενέγκαντες τὰς βίβλους, κατέκαιον
ἐνώπιον πάντων· καὶ συνεψήφισαν τὰς τι-
μὰς αὐτῶν, καὶ εὗρον ἀγυρίου μυριάδας πέν-
τε. οὕτω κατὰ κράτος ὁ λόγος τοῦ κυ- 20.
ρίου ηὔξανε καὶ ἴσχυεν. ὡς δὲ ἐπληρώθη 21.
ταῦτα, [Ἀρχή.] ἔθετο ὁ παῦλος ἐν τῷ ΜΔ.
πνεύματι, διελθὼν τὴν μακεδονίαν καὶ ἀχα-
ΐαν, πορέυεσθαι ἐις ἱερουσαλὴμ, ἐιπών· ὅτι
μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ ῥώμην
ἰδεῖν. ἀποςείλας δὲ ἐις τὴν μακεδονίαν δύο 22.
τῶν διακονούντων αὐτῷ, τιμόθεον καὶ ἔραςον,
αὐτὸς ἐπέσχε χρόνον ἐις τὴν ἀσίαν. ἐγέ- 23.
νετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος
ὀυκ ὀλίγος περὶ τῆς ὁδοῦ. δημήτριος γάρ 24.
τις ὀνόματι, ἀγυροκόπος, ποιῶν ναοὺς ἀργυ-
ροῦς

XIX, 21. — XX, 1. ΜΔ. Ἐν τισι· τῇ ς. τῆς ς. ἑβδ.
ἐ. τ. ἡ. ἐ. ἔθετο ὁ παῦλος.

σε. Aut, ἐισαλλόμενος ἐπ' — πονηρὸν κατεκυριευ-
σαν ἀμφότεροι (τό, τε πνεῦμα, καὶ ὁ ἄνθρωπος,) καὶ
κατίσχυσαν.

24. ἀργυρεοῦς] + ἴσως ὡς κιβώρια μικρά. F. Eſt hoc
Chryſoſtomi ſcholium IX, 318. b. Ex meis nullus
in contextum admiſit.

ροῦς ἀρτέμιδος, παρείχετο τοῖς τεχνίταις
25 ἐργασίαν οὐκ ὀλίγην· * οὓς συναθροίσας,
καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν·
ἄνδρες, ἐπίςασθε, ὅτι ἐκ ταύτης τῆς ἐργα-
26. σίας ἡ εὐπορία ἡμῶν ἐςι· καὶ θεωρεῖτε
καὶ ἀκούετε, ὅτι οὐ μόνον ἐφέσου, ἀλλὰ
σχεδὸν πάσης τῆς ἀσίας ὁ παῦλος οὗτος
πείσας μετέςησεν ἱκανὸν ὄχλον, λέγων, ὅτι
27. οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι. οὐ
μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς
ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγά-
λης θεᾶς * ἱερὸν ἀρτέμιδος εἰς οὐδὲν λογι-
σθῆναι, μέλλειν * δὲ καὶ καθαιρεῖσθαι τὴν
μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ ἀσία καὶ ἡ
28. οἰκουμένη σέβεται. ἀκούσαντες δὲ, καὶ γε-
νόμενοι πλήρεις θυμοῦ, ἔκραζον, λέγοντες·
29. μεγάλη ἡ ἄρτεμις ἐφεσίων. καὶ ἐπλήσθη
ἡ πόλις ὅλη * τῆς συγχύσεως· ὥρμησάν τε
ὁμοθυμαδὸν εἰς τὸ θέατρον, συναρπάσαντες
γάϊον καὶ ἀρίςαρχον μακεδόνας, συνεκδήμους
* παύ-

25. οὓς κ. τ. λ.] οὓς καὶ συναθροίσας καὶ ἐπισυναγαγὼν τοὺς περί. E. Chryf. IX, 318. a.

26. χειρῶν] + ἀνθρώπων. E. Habet et omittit Chryf. l. l. 318. a. d. 320. c.

27. ἀρτέμιδος ἱερὸν] ἱερὸν ἀρτέμιδος.

τε καὶ] δὲ καί.

τὴν μεγαλειότητα] τῆς μεγαλειότητος. E.

29. ὅλη] + τῆς.

συναρπάσαντες] + δέ. E. Chryf. IX, 319. b. qui etiam post παύλου addit, εἵλκυσαν αὐτούς.

* παύλου. τοῦ δὲ παύλου βουλομένου 30.
ἐισελθεῖν ἐις τὸν δῆμον, ὀυκ ἔιων ἀυτὸν ὁι
μαθηταί. τινὲς δὲ καὶ τῶν ἀσιαρχῶν, ὄν- 31.
τες ἀυτῷ φίλοι, πέμψαντες πρὸς ἀυτὸν,
παρεκάλουν, μὴ δοῦναι ἑαυτὸν ἐις τὸ θέατρον.
ἄλλοι μὲν οὖν ἄλλό τι ἔκραζον· ἦν γὰρ ἡ 32.
ἐκκλησία συγκεχυμένη, καὶ ὁι πλείους ὀυκ
ᾔδεισαν, τίνος ἕνεκεν συνεληλύθεισαν. ἐκ δὲ 33.
τοῦ ὄχλου προεβίβασαν ἀλέξανδρον, προ-
βαλλόντων ἀυτὸν τῶν ἰουδαίων· ὁ δὲ ἀλέξ-
ανδρος κατασείσας τὴν χεῖρα, ἤθελεν ἀπο-
λογεῖσθαι τῷ δήμῳ· * ἐπιγνόντες δὲ, ὅτι 34.
ἰουδαῖός ἐςι, φωνὴ ἐγένετο μία ἐκ πάντων,
ὡς ἐπὶ ὥρας δύο κραζόντων· μεγάλη ἡ ἄρ-
τεμις ἐφεσίων. καταςείλας δὲ ὁ γραμμα- 35.
τεὺς τὸν ὄχλον, φησίν· ἄνδρες ἐφέσιοι, τίς
γάρ ἐςιν ἄνθρωπος, ὃς ὀυ γινώσκει τὴν ἐφε-
σίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης
θεᾶς ἀρτέμιδος, καὶ τοῦ διοπετοῦς; ἀναν- 36.
τιῤῥή-

τοῦ παύλου] τοῦ —.

31. δοῦναι ἑαυτὸν] Chryſ. IX, 319. vulg. ſed 322. a. ἐισελθεῖν.

34. ἐπιγνόντων] ἐπιγνόντες. v. P.

35. καταςείλας] κατασείσας. E. Ex verſ. 33. Καταςέλλειν eſt illud ipſum, quod Vulgata habet, *ſedare*. De ſcriba iſto ſchol. Cod. Aug. 6. ita: ὀχλοχαρὴς (forte ὀχλοχαριςὴς, ut δημοχαριςής·) ὢν καὶ κολακικὸς καὶ θεραπέυων διὰ λόγων τὸν ἔλληνα δῆμον.

θεᾶς] — E.

διοπετοῦς] Vulgata: *Iovis prolis.* Legit ergo, διὸς παιδός. Laudo! Vide mox.

τιῤῥήτων οὖν ὄντων τούτων, δέον ἐςὶν, ὑμᾶς
κατεςαλμένους ὑπάρχειν, καὶ μηδὲν προπε-
37. τὲς πράττειν. ἠγάγετε γὰρ τοὺς ἄνδρας
τούτους, οὔτε ἱεροσύλους, οὔτε βλασφημοῦν-
38. τας τὴν * θεὸν ὑμῶν. εἰ μὲν οὖν Δημήτριος
καὶ οἱ σὺν αὐτῷ τεχνῖται * ἔχουσι πρός τι-
να λόγον, ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοί
39. εἰσιν, ἐγκαλείτωσαν ἀλλήλοις· εἰ δέ τι
περὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλη-
40. σίᾳ ἐπιλυθήσεται. καὶ γὰρ κινδυνεύομεν
ἐγκαλεῖσθαι ςάσεως περὶ τῆς σήμερον μηδ-
ενὸς

37. τὴν θεάν] τὴν θεόν. Apud Chryſ. IX, 319 e. eſt τὸν θεὸν, quod pro vitio habeo. In verſione enim eſt *deam*. Griesbachius edidit, τὸν θεόν. Retulit ergo ad *Iovis prolem Latinam*. Ingenioſe!

38. πρός τινα λόγον ἔχουσιν] ἔχουσι πρός τινα λόγον. ἀγοραῖοι] Neſcio, quid Pſeudo-Oecumenio in mentem venerit, qui I, 148. ita habet: ἴδιος ἦν δικαςῶν ἐν τῇ ἀσίᾳ ἐντελῶν, οἱ ἀγοραῖοι. Ita et Theophyl. pag. 148. Ἀγοραῖοι, intellige ἐκκλησίαι, (ut Chryſ. IX, 320. a.) aut ἡμέραι, aut σύλλογοι. De duplici accentu ac duplici notione huius vocabuli in contrarium diſputant grammatici. Nos hic, ut edidimus, ita in Codd. invenimus. Non alienus autem videtur locus Ioſephi, Antiquitt. 14, 10, 21. p. 711. ubi de proconſule eſt: ἄγοντι μοι τὸν ἀγόραιον, nimirum σύλλογον.

39. περὶ ἑτέρων] περαιτέρω. E. Eleganter. Ita autem in uno Mosquenſi ſolum reperi. Poſtea vero Birch. ex B. notavit περαιτέρῳ, cum iota ſubſcripto, qui error eſt manifeſtus.

40. ςάσεως περὶ τῆς σήμερον] Primo haec tota recitat Chryſ. IX, 320. a. deinde ibidem omittit, περὶ τῆς σήμερον, tandem 321. c. omittit, ςάσεως — σήμε-

 ρον.

ενὸς αἰτίου ὑπάρχοντος, περὶ οὗ * οὐ δυνησόμεθα * δοῦναι λόγον τῆς συςροφῆς ταύτης. καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν.

ΚΘ. περίοδος παύλου· ἐν ᾧ, τὰ περὶ θανάτου καὶ ἀνακλήσεως εὐτύχου διὰ προσευχῆς ἐν τρωάδι, παραινέσεις τε αὐτοῦ ποιμαντικαὶ πρὸς τοὺς ἐν ἐφέσῳ πρεσβυτέρους·

ἐν

ρον. Ita alibi etiam facere solet in locis, quae habent ambiguam interpretationem. Vulgatus reddidit: *periclitamur argui seditionis hodiernae.* Sed ist est, ςάσεως πέρι τῆς σήμερον. Vix vero credibile est, scribam ita imprudentem fuisse, ut illum concursum, *seditionem* appellarit, quod ipsi, et populo detrimentosum potuerit esse. Puto ergo reddendum esse: periclitamur seditionis accusari de hodierno concursu. Nam ista μηδενὸς — λόγον, dicta sunt ἐν παρενθέσει. Ergo τῆς et ταύτης perspicuitatis caussa addidit in fine. Potest vero etiam post σήμερον intelligi ἐκκλησίας, quam tacite appellat ἄνομον, ac continuo συςροφήν.

οὗ] + οὐ. Sufficiebat μηδενὸς, περὶ οὗ. οὐ ergo redundat: additum tamen ad firmiorem negationem, quod vere rationem reddere non poterant. Exempla redundantis particulae negativae non solum post ἀρνεῖσθαι, κωλύειν (ut Act. 10, 47. Vide et 20, 20. 27.) sed et post alia, multi viri docti notarunt. Monita sunt etiam Eustathii, Pseudo-Didym., Scholiastae Sophoclis, Thucydidis, aliorumque, qui interdum addunt, κατὰ ἀττικὴν συνήθειαν. Birch. illud οὐ prorsus non notat, qua in re sine ullo dubio fallitur. Chrys. IX, 320. a. habet οὐ, omittit autem 321. d. Primo ergo recte et integre hunc totum locum recitavit, deinde clam mutavit ac sibi interpretationem faciliorem fecit.

ἀποδοῦναι] δοῦναι. Chrys. ll. ll. ἀποδοῦναι et δοῦναι.

λόγον] + περί. E.

ἐν ᾧ, παράπλους παύλου ἀπὸ ἐφέσου ἄχρι καισαρείας τῆς παλαιστίνης.

XX, 1. Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον προσ-
καλεσάμενος ὁ παῦλος τοὺς μαθητὰς, καὶ
ΜΔ. ἀσπασάμενος, [Ἀρχή.] ἐξῆλθε, πορευθῆναι
2. εἰς τὴν μακεδονίαν. διελθὼν δὲ τὰ μέρη
ἐκεῖνα, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολ-
3. λῷ, ἦλθεν εἰς τὴν ἑλλάδα. ποιήσας τε
μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ
τῶν ἰουδαίων, μέλλοντι ἀνάγεσθαι εἰς τὴν
συρίαν, ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ
μακε-

XX, 1. — 15. ΜΔ. Ἐν τισιν· τῷ σαββάτῳ τῆς ϛ. ἑβδ. ἐ. τ. ἡ. ἐ. ἐξελθὼν ὁ παῦλος ἀπὸ τῆς ἀσίας, ἐπορεύθη εἰς τὴν μακεδονίαν, διελθών.

XX, 1. προσκαλεσάμενος] μεταστειλάμενος ł μεταπεμψάμενος. E. Miror, prius illud a nemine notatum esse. Inveni in isto Cod. l. et 13. Tertius in marg. notat, addito γρ.

μαθητὰς καὶ] + παρακαλέσας ł πολλὰ παρακαλέσας. E. Vel ex verſ. 2. vel ex Chryſ. IX, 325. qui ante verſum 2. hoc vocabulum volvit ac revolvit.

πορευθῆναι] — E. Poterat abeſſe.

εἰς τὴν] τὴν —. E.

2. Propter 14, 18. 19. non alienum videtur initium lectionis, quod eſt in uno Codice, hic notare: ἐ. τ. ἡ. ἐ. ἐξελθὼν ὁ παῦλος ἀπὸ τῆς ἀσίας ἐπορεύθη εἰς τὴν μακεδονίαν· διελθὼν δὲ τὰ μέρη ἐκεῖνα. Inſcribitur: τῷ σαββάτῳ τῆς ϛ. ἑβδ.

3. μέλλοντι] μέλλοντα. E. Semel vulg. Chryſ. IX, 325. b. ſemel μέλλοντα 327. a. Attingit etiam XI, 443. 452.

γνώμη] γνώμης. E. Graecitas non repugnat, ſed Codd.

μακεδονίας. συνείπετο δὲ αὐτῷ ἄχρι τῆς 4.
ἀσίας σώπατρος βεροιαῖος· θεσσαλονικέων δὲ,
ἀρίσταρχος καὶ σεκοῦνδος καὶ γάϊος δερβαῖος
καὶ τιμόθεος· ἀσιανοὶ δὲ, τυχικὸς καὶ τρό-
φιμος. οὗτοι προελθόντες ἔμενον ἡμᾶς ἐν 5.
τρωάδι. ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς 6.
ἡμέρας τῶν ἀζύμων ἀπὸ φιλίππων, καὶ ἤλ-
θομεν πρὸς αὐτοὺς εἰς τὴν τρωάδα ἄχρις
ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέρας ἑπτά.
[Ἀρχή.] ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συν- 7. ME.
ηγμένων τῶν μαθητῶν, * κλάσαι ἄρτον, ὁ
παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ
ἐπαύριον· παρέτεινέ τε τὸν λόγον μέχρι με-
σονυκτίου. ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ 8.
ὑπερῴῳ, οὗ * ἦμεν συνηγμένοι. καθήμενος 9.
δὲ

XX, 7. ME. σαββάτῳ τῆς ε. ἑβδ. ἱ. τ. ἡ. ἐ. συνηγμέ-
νων τῶν μαθητῶν, κλάσαι.

4. σώπατρος] σωσίπατρος (σώπατρος) πύῤῥου. E. Orig. in latina interpret. Ruf. IV, 686. col. 2. a. Nomen poprium rursus. Ergo sciolus, levisque Origenes hic rursus turbas dedit. Convenit ergo in eum, quod Terentius et Hieronymus dixerunt: *faciuntne intelligendo, ut nihil intelligant*; et: *dum alienam imperitiam volunt arguere, suam produnt.* Recte ergo a multis appellatur· ματαιόφρων. Sopatrus et Sosipatrus idem est. Nihil de πύῤῥου monet Theodoret. ad epistt. Paul. pag. 161. nec Theophyl. 159. nec alii.

7. τῶν μαθητῶν] ἡμῶν. E. v. P. et mox vers. 8. Ita et Chrys. IX, 325. d. 327. b. attingit etiam IV, 72. τοῦ κλάσαι] τοῦ —.

8. ὧν ἦσαν] οὗ ἦμεν. Etiam Chrys. IX, 325. Millius opinabatur, vers. 7. οἱ μαθηταὶ, et hic ἦσαν, orta
esse

δέ τις νεανίας ὀνόματι εὔτυχος ἐπὶ τῆς θυ-
ρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγο-
μένου τοῦ παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς
ἀπὸ τοῦ ὕπνου, ἔπεσεν ἀπὸ τοῦ τριςέγου
10. κάτω· καὶ ἤρθη νεκρός. καταβὰς δὲ ὁ
παῦλος ἐπέπεσεν αὐτῷ, καὶ συμπεριλαβὼν
εἶπε· μὴ θορυβεῖσθε. ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν
11. αὐτῷ ἐςιν. ἀναβὰς δὲ, καὶ κλάσας ἄρ-
τον καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας
12. ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν. ἤγαγον δὲ
τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ με-
13. τρίως. [Τέλος.] ἡμεῖς δὲ * προσελθόντες Τέλος τοῦ σαββάτου.
ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν εἰς τὴν ἄσσον,
ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν παῦ-
λον. οὕτω γὰρ ἦν διατεταγμένος, μέλλων
14. αὐτὸς πεζεύειν. ὡς δὲ συνέβαλεν ἡμῖν εἰς
τὴν

esse ex lectionariis. Sed lectionaria consentienter habent ἡμῖν. Τῶν μαθητῶν suspectum esse possit, sed consistit meliorum Codd. auctoritate. Codex quidem 13. vers. 7. habet in textu ἡμῶν et supra, colore rubro, τῶν μαθητῶν. Sed eius contra ceteros nulla est auctoritas. ἡμῖν vero idem in textu exhibet. In Cod., quem postea 16. appellabo, τῶν μαθητῶν est in textu, etsi idem hic notet lectionem μβ. Sic et in ceteris, quos vidi. Alii autem notant μγ. alii, ut 13. να.

9. καταφερόμενος] Ita et Orig. IV, 96. Recte et eleganter. Sed Wetst. D. κατεχόμενος ὕπνῳ βαρεῖ.

11. ἄχρις] in edit. Greg. erat ἄχρι.

13. προελθόντες] ἐμβάντες. E. προσελθόντες. Ita et Chrys. IX, 326. c. Theophyl. 150. προελθόντες probabilius erat. Erasmus adeo ita in prima edit. Deinde correctum est.

τὴν ἄσσον, ἀναλαβόντες αὐτὸν, ἤλθομεν εἰς
μιτυλήνην. κἀκεῖθεν ἀποπλεύσαντες, τῇ 15.
ἐπιούσῃ κατηντήσαμεν ἀντικρὺ χίου· τῇ δὲ
ἑτέρᾳ παρεβάλομεν εἰς σάμον· καὶ μείναν-
τες ἐν * τρωγιλίῳ, τῇ ἐχομένῃ ἤλθομεν εἰς
μίλητον. [Ἀρχή.] ἔκρινε γὰρ ὁ παῦλος 16. MƷ.
παραπλεῦσαι τὴν ἔφεσον, ὅπως μὴ γένηται
αὐτῷ χρονοτριβῆσαι ἐν τῇ ἀσίᾳ· ἔσπευδε
γὰρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς
πεντηκοςῆς γενέσθαι εἰς ἱεροσόλυμα. ἀπὸ 17.
δὲ τῆς μιλήτου πέμψας εἰς ἔφεσον, μετεκα-
λέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας.
ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν, εἶπεν αὐτοῖς· 18.
Ὑπέρβα εἰς τὸ τῆς κυριακῆς. [Ὑπέρβα.] ὑμεῖς ἐπίςασθε, ἀπὸ πρώτης
ἡμέρας, ἀφ' ἧς ἐπέβην εἰς τὴν ἀσίαν, πῶς
μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην,
δουλεύων τῷ κυρίῳ μετὰ πάσης ταπεινοφρο- 19.
σύνης καὶ πολλῶν δακρύων, καὶ πειρασμῶν,
τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν
τῶν ἰουδαίων· ὡς οὐδὲν ὑπεςειλάμην τῶν 20.
συμφερόντων, τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν καὶ
διδάξαι

XX, 16. MƷ. κυριακῇ ζ., τῶν ἁγίων πατέρων· ἐ. τ. ἡ. ἐ. ἔκρινεν ὁ παῦλος παραπλεῦσαι.

15. τρωγιλίῳ] Vulgo editur τρωγυλλίῳ. Alii aliter.

16. ἔκρινε] κεκρίκει. E.

19. κυρίῳ] + μεθ' ὑμῶν. E. Chryf. pro more fuo optionem dat. Habet IX, 330. b. omittit 330. e. Ex verf. 18. repetitum.

20. τοῦ μὴ] μὴ — E.

21. διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ' οἴκους, δια-
μαρτυρόμενος ἰουδαίοις τε καὶ ἕλλησι τὴν εἰς
τὸν θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν
22. κύριον ἡμῶν ἰησοῦν. * καὶ νῦν ἰδοὺ, ἐγὼ
δεδεμένος τῷ πνεύματι, πορεύομαι εἰς ἱερου-
σαλὴμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ
23. εἰδώς· πλὴν ὅτι τὸ πνεῦμα τὸ ἅγιον κα-
τὰ πόλιν διαμαρτύρεταί λέγον, ὅτι δεσμά
24. με καὶ θλίψεις μένουσιν. ἀλλ' οὐδενὸς
λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχήν μου
τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον
μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν, ἣν ἔλα-
βον παρὰ τοῦ κυρίου ἰησοῦ, διαμαρτύρασθαι
25. τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ θεοῦ. καὶ
νῦν ἰδοὺ, ἐγὼ οἶδα, ὅτι οὐκέτι ὄψεσθε τὸ
πρό-

21. ἰησοῦν χριστὸν] χριστόν. —

22. συναντήσοντα] συμβησόμενα. E. Apud Ath. I, 544. Codd. variant. Idem mox με reiicit post μένουσι. Credo, ipsum scripsisse συμβησόμενα. Nam et nostri homiletae, Geierus, Pfeiferus, Speierus, etc. variant in recitanda versione Lutheri. Mox idem Ath. 555. habet, μαρτύρεταί μοι, et με, ante μένουσιν. Scilicet iam Athanasius ultra triginta millia *recensionum* ad manus habebat, omnes Alexandrinas. Erat enim episcopus Alexandrinus.

23. διαμαρτύρεται] + μοι. Illud μοι post πνεῦμα infarsit Chrys. IX, 332. b. c. Theodoret. ad epist. Paul. 155. κατὰ πόλιν διαμαρτύρεταί με (μοι) τὸ πνεῦμα, ὅτι.

24. ψυχήν μου] μου — E. Ita Chrys. IX, 332. b, sed ib. c. et 334. b. τὴν ἐμαυτοῦ ψυχήν.

ὡς] ὥστε t ὡς τό. E.

μετὰ χαρᾶς] — E.

πρόσωπόν μου ὑμεῖς πάντες, ἐν οἷς διῆλθον
κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ. διὸ 26.
μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ, ὅτι
καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων.
οὐ γὰρ ὑπεστειλάμην, τοῦ μὴ ἀναγγεῖλαι 27.
Ἄρξου τῆς κυριακῆς. ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. [Ἄρ- 28.
ξου.] προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ
ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον
ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν
* τοῦ

25. τοῦ Θεοῦ] — E. Chrys. l. l. 332.

26. διὸ μαρτύρομαι] Basil. II, 623. διαμαρτύρομαι ὑμῖν τῇ. 672. καθαρός εἰμι ἀπὸ τοῦ νῦν ἀπὸ — πάντων ὑμῶν. Ibidem videtur probare διαμαρτ. sed omittit, τὴν ἀλήθειαν καί.

ἐγὼ] εἰμὶ t ἐγώ εἰμι. E. Bis ἐγὼ solum Chrys. l. l. 332. e. 335. a. Post ἐγὼ Basil. M. II, 503. addit, ἀπὸ τοῦ νῦν, et mox, post πάντων, ibid. addunt tres Codd. ὑμῶν. 623. solum εἰμι, loco ἐγὼ habet.

πάντων] + ὑμῶν. E.

27. τοῦ μὴ] μὴ — E.

πᾶσαν] τὴν ἀλήθειαν καὶ addit Basil. II, 623.

28. ἔθετο] post ὑμᾶς statim habet Orig. II, 593. Suo ordine habet Cyrill. V, a. 341.

ἐκκλησίαν τοῦ Θεοῦ] ἐκκλησίαν τοῦ κυρίου καὶ Θεοῦ. Ita habent omnes omnino mei, quos Mosquae examinavi, etiam l. quod valde notabile est. Ex quatuor, quos postea consului, 6. habet τοῦ Θεοῦ, omisso κυρίου καί. 13. τοῦ κυρίου, omisso καὶ Θεοῦ. 15. et 16. τοῦ κυρίου καὶ Θεοῦ. Hoc posterius habent plerique apud Birch. Item apud Wetst. Alii tamen τοῦ κυρίου, alii τοῦ Θεοῦ omiserunt. Accedit, quod haec lectio in omnibus proprie dictis lectionariis, h. e. Apostolis, seu Praxaposto-

* τοῦ κυρίου καὶ Θεοῦ, ἣν περιεποιήσατο διὰ
29. τοῦ ἰδίου αἵματος. ἐγὼ γὰρ οἶδα τοῦτο,
ὅτι

apoſtolis, legitur. Aliquot euchologia ſolum hanc totam lectionem praetermittunt. Chryſ. ad h. l. IX, 353. habet, *ἐκκλησίαν τοῦ Θεοῦ*, idque ibid. bis repetit. Tractat hunc locum multoties, ut X, 660. 709. IX, 433. VI, 284. 285. XI, 83. etc. Ath. I, 522. habet, *ἐκκλησίαν τοῦ Θεοῦ*. Sed unus Codex ibi habet *κυρίου*, tres *χριςοῦ*. II, 481. eſt, *ἐκκλησίαν τοῦ χριςοῦ*. Ibid. 2. *ἐκκλησίαν τοῦ Θεοῦ*. Tres ergo *recenſiones Alexandrinas* orthodoxus Athanaſius ſolus exhibet. Reliquae adhuc latent. Beza, qui, *τὴν ἐκκλησίαν τοῦ Θεοῦ*, edidit, in edit. 1565. et 1598. ſcribit: *in quinque* exemplaribus legitur *κυρίου καὶ Θεοῦ*. Deinde addit ſuas ſuspiciones ex theologia dogmatica, quae non pertinent ad artem criticam. Dogma theologicum optimum critici eſt, ut ſit vir honeſtus et verax, atque ubique in tractandis Codicibus diligentiam, veritatem et fidem ſequatur, nihilque fingat aut occultet. Bezam hic merito reprehendo, quod non aperte dixit, quot exemplaria ad manus habuerit, et quid in reliquis exemplaribus invenerit. Equidem ſubdubito, an quinque Codices graecos in Actibus ante oculos habuerit. Hoc autem ex eo eſt, quod ipſe de Codicibus ſuis, modo, ut de myſteriis Eleuſiniis, modo, ut de monſtris, quae pudet foras proferre, loquitur. Griesbachius, *etſi*, ut ipſe ait, *non admodum difficile eſt de vera huius loci lectione pronuntiare*, tamen ita edidit:

τὴν ἐκκλησίαν § τοῦ Θεοῦ / τοῦ κυρίου.

Ergo hic ex una lectione duas fecit et alteram alteri *impoſuit*. *Θεοῦ* vero, quod nomen eſt ſplendidius, quam *κυρίου*, litteris ſplendidioribus expreſſit. Wetſtenius de Bengelio ſcribit T. II. p. 596. „*Bengelius in uno* (Aug. 6) 46. *invenit Θεοῦ*.“

Scilicet

ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύ-
κοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποι-
μνίου. καὶ ἐξ ὑμῶν αὐτῶν ἀναςήσονται 30.
ἄνδρες λαλοῦντες διεςραμμένα, τοῦ ἀπο-
σπᾷν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. διὸ 31.
γρηγορεῖτε, μνημονεύοντες, ὅτι τριετίαν, νύκτα
καὶ ἡμέραν, οὐκ ἐπαυσάμην μετὰ δακρύων
νουθετῶν ἕνα ἕκαςον. καὶ τανῦν παρατί- 32.
θεμαι ὑμᾶς, ἀδελφοὶ, τῷ θεῷ καὶ τῷ λό-
γῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ἐποι-
κοδομῆσαι καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν
τοῖς

Scilicet Bengelius in Actibus omnino duos Codd. contulit Aug. 6. et Vff. 2. Ex Vff. 2. Wetft. fecit Vff. 1. eumque in Prolegg. T. II. p. 15. appellavit 52. Iam, fi Bengelium confulas, ad h. l., θεου notat ex Aug. 6., κυρίου καὶ θεοῦ autem, ex Vff. (2.) Sed iftum numerum 2. plerumque omittit (v. Beng. p. 605.), quod Vff. 1. tantum fragmentum habet epift. ad Hebr. Iam quaeras apud Wetft. ad h. l. fub κυρίου καὶ θεοῦ, an poffis reperire numerum 52. Apud Griesbachium pag. 141. nominatim pro κυρίου καὶ θεοῦ notantur 14. ac praeterea alii 17. Ergo omnino 31. Igitur et ab hoc praetermiffus 52., cum Wetft., ifto etiam omiffo, numeret 31. v. praeterea P. p. 218. 219. 335.

τοῦ ἰδίου αἵματος] τοῦ αἵματος τοῦ ἰδίου. E.

29. γὰρ] — E.

τοῦτο] — E.

31. ἕκαςον] + ὑμῶν. E. Vulgatum etiam Bafil. M. II, 337.

32. ἀδελφοὶ] — E. Cyrill. V, a. 367. Non pertinebat hoc ad eius confilium.

θεῷ] κυρίῳ. E. θεῷ. Chryf. IX, 337. a. b. κυρίῳ. ib. e. attingit etiam XI, 667. d.

33. τοῖς ἡγιασμένοις πᾶσιν. ἀργυρίου ἢ χρυσίου
34. ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα. αὐτοὶ *
γινώσκετε, ὅτι ταῖς χρείαις μου καὶ τοῖς
οὖσι μετ᾽ ἐμοῦ ὑπηρέτησεν αἱ χεῖρες αὗται.
35. πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας
δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνη-
μονεύειν τε * τὸν λόγον τοῦ κυρίου ἰησοῦ, ὅτι
αὐτὸς εἶπε· μακάριόν ἐστι * μᾶλλον διδόναι
36. ἢ λαμβάνειν. καὶ ταῦτα εἰπὼν, θεὶς τὰ
γόνατα αὐτοῦ, σὺν πᾶσιν αὐτοῖς προσηύξα-
37. το. [Τέλος.] ἱκανὸς δὲ ἐγένετο κλαυθμὸς Τέλος τῆς
πάντων· καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον κυριακῆς.
38. τοῦ παύλου, κατεφίλουν αὐτόν. ὀδυνώμε-
νοι μάλιστα ἐπὶ τῷ λόγῳ, ᾧ εἰρήκει, ὅτι
οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν·
προ-

ἐποικοδομῆσαι] οἰκοδομῆσαι. E. Chryſ. IX, 337. b. ἐποικοδομῆσαι. ib. c. ὑμᾶς ἐποικοδομῆσαι, additque, οὐκ εἶπεν οἰκοδομῆσαι. Sed hoc me non moveret, niſi ita Codd. haberent. Saepius enim uſurpat iſta: οὐκ εἶπε τοῦτο, ἀλλὰ τοῦτο, etſi Codices, atque ipſe etiam, aliis in locis, in iisdem verbis contra ſint. Nam iſta verba apud hunc et alios Patres non critica ſunt, ſed rhetorica et ascetica.

34. αὐτοὶ δὲ] δὲ —.

γινώσκετε] Semel ὑμεῖς ἐπίστασθε Chryſ. IX, 337. αὐτοὶ γινώσκετε. 339.

πάντα] καὶ πάντα. E.

τῶν λόγων] τοῦ λόγου. E. τὸν λόγον. A. Ita bis ll. ll. Chryſ. Vitioſum credebant μνημονεύειν cum accuſativo. Supra iam exempla memoravi.

5. δαῖοι· προγινώσκοντές με ἄνωθεν, ἐὰν θέ-
λωσι μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεςάτην
αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα Φα-
6. ρισαῖος· καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς
πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ
7. θεοῦ, ἕςηκα κρινόμενος· εἰς ἣν τὸ δωδε-
κάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέ-
ραν λατρεῦον ἐλπίζει καταντῆσαι· περὶ ἧς
ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ ἀγρίππα,
8. ὑπὸ * ἰουδαίων. τί ἄπιςον κρίνεται παρ'
9. ὑμῖν, εἰ ὁ θεὸς νεκροὺς ἐγείρει; ἐγὼ μὲν
ὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα ἰησοῦ τοῦ
ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι·
10. ὃ καὶ ἐποίησα ἐν ἱεροσολύμοις· καὶ πολλοὺς
τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέκλεισα, τὴν
παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών· ἀναι-
11. ρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον. καὶ
κατὰ πάσας τὰς συναγωγὰς πολλάκις
τιμωρῶν αὐτοὺς, ἠνάγκαζον βλασφημεῖν·
πε-

6. πατέρας] + ἡμῶν. E. Chryf. 389. a.
ἕςηκα κρινόμενος] ἕςην κατακρινόμενος. E. Hoc non notatum reperi.
7. ὑπὸ τῶν] τῶν —
10. ἐγὼ] + ἐν. E.

περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον
ἕως καὶ εἰς τὰς ἔξω πόλεις. ἐν οἷς καὶ 12.
Ἀρξου τῶν ἁγίων. [Ἄρξου.] πορευόμενος εἰς τὴν δαμασκὸν
μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν
ἀρχιερέων, ἡμέρας μέσης, κατὰ τὴν ὁδὸν 13.
εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμ-
πρότητα τοῦ ἡλίου, περιλάμψαν με φῶς
καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. πάντων 14.
δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα
φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν
τῇ ἑβραΐδι διαλέκτῳ· σαοὺλ, σαοὺλ, τί
με διώκεις; σκληρόν σοι πρὸς κέντρα
λακτίζειν. ἐγὼ δὲ εἶπον· τίς εἶ κύριε; ὁ 15.
δὲ εἶπεν· ἐγώ εἰμι ἰησοῦς, ὃν σὺ διώκεις.
ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας 16.
σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρί-
σασθαί σε ὑπηρέτην καὶ μάρτυρα, ὧν τε
εἶδες, ὧν τε ὀφθήσομαί σοι· ἐξαιρούμε- 17.
νός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς
* ἐγώ σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς 18.
αὐτῶν,

XXVI, 12. NB. Ἔν τισι καὶ τοῦτο τὸ ἀνάγνωσμα εὗρον· ἤ. τ. ἡ. ἱ. πορευόμενος.

11. περισσῶς] περισσοτέρως. E.

12. ἐν οἷς καὶ] καὶ — E.

14. ἤκουσα — λέγουσαν] ἤκουσα φωνῆς λεγούσης μοι ɩ ἤκουσα φωνὴν λέγουσαν πρός με ɩ ἤκουσα φωνῆς λαλούσης πρός με καὶ λεγούσης. E. Varietates ſunt ex 9, 4. 22, 7. v. P. Ex quatuor poſt examinatis tres habent vulgatum.

17. νῦν] ἐγώ. Sic et poſtea reperi. Et Chryſ. IX, 390. a.

ἀποστέλλω] ἀποστελῶ ɩ ἐξαποστέλλω ɩ ἐξαποστελῶ. E.

αὐτῶν, τοῦ * ἀποστρέψαι ἀπὸ σκότους εἰς
φῶς, καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν
θεὸν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν,
καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις, πίστει τῇ
19. εἰς ἐμέ. ὅθεν, βασιλεῦ ἀγρίππα, οὐκ
ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ·
20. ἀλλὰ τοῖς ἐν δαμασκῷ πρῶτον καὶ ἱεροσο-
λύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς ἰου-
δαίας, καὶ τοῖς ἔθνεσιν, ἀπήγγελλον με-
τανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν θεὸν, ἄξια
τῆς μετανοίας ἔργα πράσσοντας. [Τέλος.] Τέλος τῶν
21. ἕνεκα τούτων με οἱ ἰουδαῖοι συλλαβόμενοι βασιλέων.
ἐν τῷ ἱερῷ, ἐπειρῶντο διαχειρίσασθαι.
22. ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ θεοῦ,
ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα, μαρτυ-
ρούμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς
λέγων

18. ἐπιστρέψαι] ὑποστρέψαι D. t ἀποστρέψαι. A. Bis ἀποστρέψαι. Chryſ. l. l. 390. a. et τοῦ ἀνοῖξαι — καὶ (loco τοῦ) ἀποστρέψαι. Ἀποστρέψαι poſtea in quatuor inveni. ἐπιστρέψαι forte eſt ex verſ. 20. tamen ἐπιστρέψαι laudat et repetit Clem. Alex. 515. in edit. Pariſ. et Oxon. ſed nec Sylb. nec Pott. idoneis Codd. inſtructi fuerunt.

ἡγιασμένοις] ἠγαπημένοις. E.

20. πρῶτον καὶ] + ἐν. E.

ἀπήγγελλον] ἀπαγγέλλω A. t ἀπαγγέλλων, D. t κατήγγελλον. E. Ἀπαγγέλλω. Chryſ. 390. b.

21. ἐν] ὄντα ἐν. E.

διαχειρίσασθαι] διαχειρίζεσθαι. E.

22. παρὰ] ἀπό. E.

μαρτυρούμενος] μαρτυρόμενος. A.

λέγων, ὧν τε οἱ προφῆται ἐλάλησαν μελ-
λόντων γίνεσθαι, καὶ μωυσῆς· εἰ παθητὸς 23.
ὁ χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν
φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ
τοῖς ἔθνεσι. ταῦτα δὲ αὐτοῦ ἀπολογουμέ- 24.
νου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· μαίνῃ
παῦλε· τὰ πολλά * σε γράμματα εἰς
μανίαν περιτρέπει. ὁ δέ· οὐ μαίνομαι, 25.
φησι, κράτιστε Φῆστε, ἀλλ' ἀληθείας καὶ
σωφροσύνης ῥήματα ἀποφθέγγομαι. ἐπί- 26.
σταται γὰρ περὶ τούτων ὁ βασιλεὺς, πρὸς
ὃν καὶ παῤῥησιαζόμενος λαλῶ· λανθάνειν
γὰρ αὐτόν τι τούτων οὐ πείθομαι οὐδέν·
οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.
πιστεύεις, βασιλεῦ ἀγρίππα, τοῖς προφήταις; 27.
οἶδα, ὅτι πιστεύεις. ὁ δὲ ἀγρίππας πρὸς 28.
τὸν παῦλον ἔφη· ἐν ὀλίγῳ με πείθεις χρι-
στιανὸν γενέσθαι. ὁ δὲ παῦλος εἶπεν· εὐ- 29.
ξαίμην ἂν τῷ θεῷ, καὶ ἐν ὀλίγῳ, καὶ ἐν
πολλῷ

23. τῷ λαῷ] τῷ τε λαῷ 1 ἐν τῷ τε λαῷ. E. Secundum et tertium Chryf. IX, 390. c. 393. b. Post hunc verſum 390. c. Chryſoſtomus ita infert: ἀλλὰ οὐδὲ νῦν ἀφίσταμαι, et, ἀπὸ γὰρ προφητῶν ἰσχυρίζομαι, acſi haec ſint verba contextus. Verum hoc in uſu habet, ut ſaepius ſua verba pro apoſtolorm verbis interpretetur atque adeo urgeat.

24. ἀπολογουμένου] διαλεγομένου. E. Chryſ. 390. d.

25. ὁ δὲ] + παῦλος. E. Chryſ. IX, 390, d. interrogat: τί οὖν ὁ παῦλος;

29. καὶ ἐν ὀλίγῳ] Sic, et οὐκ ἐν ὀλίγῳ, editum apud Chryſ.

πολλῷ, οὐ μόνον σὲ, ἀλλὰ καὶ πάντας
τοὺς ἀκούοντάς μου σήμερον, γενέσθαι τοιού-
τους, ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσ-
30. μῶν τούτων. καὶ ταῦτα εἰπόντος αὐτοῦ,
ἀνέςη ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν, ἥτε Βερ-
31. νίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς, καὶ
ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους,
λέγοντες· ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσ-
32. μῶν πράσσει ὁ ἄνθρωπος οὗτος. ἀγρίπ-
πας δὲ τῷ Φήςῳ ἔφη· ἀπολελύσθαι ἐδύνα-
το ὁ ἄνθρωπος οὗτος, εἰ μὴ * ἐπικέκλητο
καίσαρα. [Τέλος.]

AH: Τέλος ἐν τισι. Πρόσκειται δὲ ἐν ἑνί· καὶ οὕτως ἔκρινεν αὐτὸν ὁ ἡγεμὼν ἀναπέμψαι καίσαρι.

Chryf. 391. Sed οὐκ vitiofum videtur. explicat enim παρὰ μικρόν. Scilicet καὶ et οὐκ in editione per figlas expreffa funt. Eft ergo confufio typothetae.

πολλῷ] μεγάλῳ. E.

30. καὶ ταῦτα — ἀνέςη ὁ] ἀνέςη τε ὁ t ἀνέςη δὲ ὁ. E. Scilicet Chryf. in homilia LII. ubi fuperiora explicat, hunc verfum prorfus non addit, Sed in principio hom. LIII. ubi ifta aliena erant, exhibet: ἀνέςη δὲ ὁ. Exemplum prorfus fimile notavi ad 24, 22. Vide etiam 28, 16. Qui vero Codices ex meis hic aberrant a vero? Mofq. h. qui fcholia et in his Chryfoftomi fimul etiam, exhibet, et l. qui baud raro aberrat. Qui vero ex Wetfteinianis hic corrupti funt? A. 13. 14. 17. 36. 40. Item verfiones, Vulgata latina, Syr. Copt. Aethiop. Apud Birg. Vat. 1209. feu B. et fidelis fatelles, vel etiam dux eius Vat. 367. Neminem ergo fallit Chryf.

32. ἐπικέκλητο] ἐπικέκλητο. A.

καίσαρα] Hic unus ex meis addit: οὕτως ἔκρινεν αὐτὸν ὁ ἡγεμὼν ἀναπέμψαι καίσαρι. Speciem habent

ΛΗ. πλοῦς παύλου ἐπὶ ῥώμην, κινδύνων τε πλείςων καὶ μεγίςων ἔμπλεως· ἐν ᾧ, παραίνεσις παύλου πρὸς τοὺς σὺν αὐτῷ περὶ ἐλπίδος σωτηρίας· ναυάγιον παύλου. ὅπως τε διεσώθησαν εἰς μελίτην τὴν νῆσον, καὶ ὅσα ἐν αὐτῇ ὁ παῦλος ἐθαυματούργησεν.

['Αρχή.] Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς XXVII,
εἰς τὴν ἰταλίαν, παρεδίδουν τόν τε παῦλον 1. NB.
καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ,
ὀνόματι ἰουλίῳ, * σπείρας σεβαςῆς. ἐπι- 2.
βάντες δὲ πλοίῳ ἀδραμυττηνῷ, μέλλοντες
πλεῖν τοὺς κατὰ τὴν ἀσίαν τόπους, ἀνήχ-
θημεν, ὄντος σὺν ἡμῖν ἀριςάρχου μακεδόνος
θεσ-

XXVII, 1. NB. τῇ παρασκευῇ τῆς ζ. ἑβδ. ἀ. τ. ἠ. ἐ. ὡς ἐκρίθη τοῦ ἀποπλεῖν [ἡμᾶς] τοὺς περὶ τὸν παῦλον εἰς τὴν ἰταλίαν.

bent claululae lectionis ecclefiafticae, quae in hoc Codice notantur. Nullam tamen equidem lectionem ecclefialticam inveni, quae hic verfu 32. terminaretur.

XXVII. 1. ἡμᾶς] τοὺς περὶ τὸν παῦλον. E. ἡμᾶς fervant etiam quatuor poft examinati, tametfi duo notent lect. ecclef.

παρεδίδουν] παρεδίδου. E. Solus 13. ex meis. Παρεδίδουν, nimirum, οἱ δεσμοφύλακες.

2. ἀδραμυττηνῷ] ἀδραμυττινῷ t ἀδραμυτηνῷ. Vide ad Polyaen. pag. 657.

μέλλοντες] μέλλοντι D. t. μέλλοντος. E. Loco μέλλοντα, in priore editione mea corrigendum μέλλοντι, quod vel ex Millii fententia intelligitur. In uno hic inveni etiam μέλλοντ, et ο, fupra τ, quod eft μέλλοντος.

πλεῖν] + εἰς t + ἐπί. E. Diffenfus corruptionem prodit, ut plerumque in eiusmodi locis.

3. θεσσαλονικέως. τῇ τε ἑτέρᾳ κατήχθη-
μεν εἰς σιδῶνα· φιλανθρώπως τε ὁ ἰούλιος
τῷ παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς
τοὺς φίλους πορευθέντα ἐπιμελείας τυχεῖν.
4. κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν
κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους.
5. τό, τε πέλαγος τὸ κατὰ τὴν κιλικίαν καὶ
παμφυλίαν διαπλεύσαντες, κατήλθομεν εἰς
6. μύρα τῆς λυκίας. κἀκεῖ εὑρὼν ὁ ἑκατόν-
ταρχος πλοῖον ἀλεξανδρῖνον πλέον εἰς τὴν
7. ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. ἐν
ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ
μόλις γενόμενοι κατὰ τὴν κνίδον, μὴ προσ-
εῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν
8. τὴν κρήτην κατὰ σαλμώνην· μόλις τε
παραλεγόμενοι αὐτὴν, ἤλθομεν εἰς τόπον
τινὰ καλούμενον καλοὺς λιμένας, ᾧ ἐγγὺς
ἦν

3. τῇ τε] τῇ δέ. E.

ἐπέτρεψε] ἐκέλευσε. E. Solus I. ex meis. Idem mox cum aliquibus, πορευθέντι. E.

5. κατήλθομεν] κατήχθημεν. E.

μύρα] μῦρα. A. σμύρναν l λύστρα. E. Hieronymus ex imitatione Origenis, aut ex Origene ipſo hic turbas dedit, ut in aliis nominibus propriis v. Wetſt. Sabat. et verſ. 8. Semel decretum erat Origeni et Hieronymo, nullum nomen proprium intactum relinquere. Miror, cur non etiam nomina Apoſtolorum mutarint. Immo vero haec quoque tentarunt.

λυκίας] κυλικίας. E.

6. ἐνεβίβασεν] ἀνεβίβασεν. A.

ἦν πόλις λασαία. ἱκανοῦ δὲ χρόνου δια- 9.
γενομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ
πλοὸς, διὰ τὸ καὶ τὴν νηςείαν ἤδη παρε-
ληλυθέναι, παρῄνει ὁ παῦλος, λέγων αὐ- 10.
τοῖς· ἄνδρες, θεωρῶ, ὅτι μετὰ ὕβρεως καὶ
πολλῆς ζημίας οὐ μόνον τοῦ * φορτίου καὶ
τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν
μέλλειν ἔσεσθαι τὸν πλοῦν. ὁ δὲ ἑκατοντ- 11.
άρχης τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ
ἐπείθετο μᾶλλον ἢ τοῖς ὑπὸ τοῦ παύλου
λεγομένοις. ἀνευθέτου δὲ τοῦ λιμένος 12.
ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους
ἔθεντο βουλὴν ἀναχθῆναι κἀκεῖθεν, εἴπως
δύναιντο καταντήσαντες εἰς φοίνικα παρα-
χειμάσαι, λιμένα τῆς κρήτης βλέποντα κα-
τὰ λίβα καὶ κατὰ χῶρον. ὑποπνεύσαν- 13.
τος δὲ νότου, δόξαντες τῆς προθέσεως κε-
κρατηκέναι, ἄραντες ἆσσον παρελέγοντο
τὴν κρήτην· μετ᾽ οὐ πολὺ δὲ ἔβαλε κατ᾽ 14.
αὐτῆς ἄνεμος τυφωνικὸς, ὁ καλούμενος εὐρο-
κλύδων. συναρπασθέντος δὲ τοῦ πλοίου, 15.
καὶ

8. λασαία] λασαῖα ł λασσαία ł λασία. Alii aliter.

10. ὅτι] Miror, non ſublatum eſſe.

φόρτου] φορτίου. Sic et poſtea inveni. Elegantius quidem, ſed Codd. hoc requirunt.

11. ἑκατόνταρχος] ἑκατοντάρχης, magno Codd. conſenſu h. l. Utrumque occurrit.

12. κἀκεῖθεν] ἐκεῖθεν. D.

13. ἆσσον] alii ἄσσον.

14. αὐτῆς] Chryſ. IX, 398. d. αὐτήν.

εὐροκλύδων] Ita omnes omnino mei. Linguae grae-
cae

καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ,
16. ἐπιδόντες ἐφερόμεθα. νησίον δέ τι ὑπο-
δραμόντες, καλούμενον κλαύδην, μόλις ἰσχύ-
σαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης,
17. ἣν ἄραντες, βοηθείαις ἐχρῶντο, ὑποζωννῦν-
τες τὸ πλοῖον· φοβούμενοί τε, μὴ εἰς τὴν
σύρτιν ἐκπέσωσι, χαλάσαντες τὸ σκεῦος,
18. οὕτως ἐφέροντο. σφοδρῶς δὲ χειμαζομένων
19. ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο, καὶ
τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου
20. ἐῤῥίψαμεν. μήτε δὲ ἡλίου, μήτε ἄςρων
ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶ-
νός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν πε-
ριῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς.
21. πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε ςα-
θεὶς ὁ παῦλος ἐν μέσῳ αὐτῶν, εἶπεν· ἔδει
μὲν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι, μὴ
ἀνάγεσθαι ἀπὸ τῆς κρήτης, κερδῆσαί τε
τὴν

cae ratio postulabat, εὐρυκλύδων. Sed id in his scriptoribus non urgendum. Vulgata latina ex hoc finxit, *euroaquilo*, quod Cod. Alex. seu A. et Vat. 1209. seu B. reddidit εὐρακύλων, tanquam ἀκύλων sit *aquilo*. v. P.

16. κλαύδην] κλαῦδα t καῦδα. Alii aliter.

17. τὸ σκεῦος] τὸ ἱςίον t τὰ ἱςία. Posterius Chrys. IX, 398. d. Sed haec est explicatio, ut ex scholiis ad h. l. intelligitur. v. P. 344.

19. ἐῤῥίψαμεν] ἔῤῥιψαν. E.

20. ἐπιφαινόντων] ἐπιφανέντων t ἐπιφαινομένων. E. Posterius Chrys. l. l.

πᾶσα] + ἡ. E.

τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. καὶ 22.
τανῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ
γὰρ ψυχῆς ὀυδεμία ἔςαι ἐξ ὑμῶν, πλὴν
τοῦ πλοίου. παρέςη γάρ μοι * ταύτῃ τῇ 23.
νυκτὶ ἄγγελος τοῦ θεοῦ, οὗ εἰμὶ, ᾧ καὶ λα-
τρεύω, λέγων· μὴ φοβοῦ, παῦλε· καίσαρί 24.
σε δεῖ παραςῆναι· καὶ ἰδοὺ, κεχάριςαί σοι
ὁ θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ.
διὸ εὐθυμεῖτε ἄνδρες· πιςεύω γὰρ τῷ θεῷ, 25.
ὅτι οὕτως ἔςαι, καθ' ὃν τρόπον λελάληταί
μοι. εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. 26.
ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, δια- 27.
φερομένων ὑμῶν ἐν τῷ ἀδρίᾳ, κατὰ μέσον
τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν
τινὰ αὐτοῖς χώραν, καὶ βολίσαντες, εὗρον 28.
ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διαςήσαντες, καὶ
πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέν-
τε· φοβούμενοί τε, μήπως εἰς τραχεῖς 29.
τόπους * ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες
ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέ-
σθαι. τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν 30.

ἐκ

22. ὀυδεμία] ὀυδεμιᾶς. E.

23. τῇ νυκτὶ ταύτῃ] ταύτῃ τῇ νυκτί.

27. προσάγειν] Vat. 1209. προσανέχειν. Per ſe non abſurde. ἀνέχειν quid notet, conſtat. Scilicet h. l. idem eſt, quod ἀνακύπτειν, ἐξέχειν. πρὸς *vicinitatem* indicat.

29. μήπως εἰς] μήπου κατά. E.

ἐκπέσωσιν] ἐκπέσωμεν.

ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκά-
φην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ
πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν,
31. εἶπεν ὁ παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς
στρατιώταις· ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ
32. πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. τότε
οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς
33. σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. ἄχρι
δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει
ὁ παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς,
λέγων· τεσσαρεσκαιδεκάτην σήμερον ἡμέ-
ραν προσδοκῶντες, ἄσιτοι διατελεῖτε, μηδὲν
34. προσλαβόμενοι· διὸ παρακαλῶ ὑμᾶς,
προσλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς
ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ
ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς πεσεῖται.
35. εἰπὼν δὲ ταῦτα, καὶ λαβὼν ἄρτον, εὐχα-
ρίστησε τῷ θεῷ ἐνώπιον πάντων, καὶ κλά-
36. σας ἤρξατο ἐσθίειν. εὔθυμοι δὲ γενόμενοι
πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς.
37. ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ,
38. διακόσιαι ἑβδομηκονταέξ. κορεσθέντες δὲ
τροφῆς,

31. ἐὰν μὴ κ. τ. λ.] Ita Chryſ. IX, 399. c. ſed ibid. d. ἐὰν οὗτοι φύγωσιν.

34. προσλαβεῖν] μεταλαβεῖν. E. Ex verſ. 33. Utrumque Chryſ. IX, 399. e, 401. e.

πεσεῖται] ἀπολεῖται. E. Scribae in mente habebant Luc. 21, 18.

38. δὲ] + τῆς. E. Chryſ. l. l. 400 402.

τροφῆς, ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι
τὸν σῖτον εἰς τὴν θάλασσαν. ὅτε δὲ ἡμέ- 39.
ρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον· κόλ-
πον δέ τινα κατενόουν, ἔχοντα αἰγιαλὸν,
εἰς ὃν ἐβουλεύσαντο, εἰ * δυνατὸν, ἐξῶσαι
τὸ πλοῖον. καὶ τὰς ἀγκύρας περιελόντες 40.
εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς
ζευκτηρίας τῶν πηδαλίων· καὶ ἐπάραντες
τὸν * ἀρτέμωνα, τῇ πνεούσῃ κατεῖχον εἰς
τὸν αἰγιαλόν. περιπεσόντες δὲ εἰς τόπον 41.
διθάλασσον, ἐπώκειλαν τὴν ναῦν· καὶ ἡ
μὲν πρῷρα ἐρείσασα ἔμεινεν ἀσάλευτος, ἡ
δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμά-
των. τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, 42.
ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μήτις ἐκ-
κολυμβήσας * διαφύγῃ. ὁ δὲ ἑκατόνταρ- 43.
χος, βουλόμενος διασῶσαι τὸν παῦλον, ἐκώ-
λυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε

τοὺς

39. δύναιντο] δυνατόν. E. Chryf. 400.

40. ἀρτέμονα] ἀρτέμωνα. Ita poftea etiam reperi. Phavorinus in μασχάλη — ὅπου καὶ τὸ τέρθρον, ὃ καλοῦσιν ἀρτέμωνα.

κατεῖχον] κατῆγον. E.

41. περιπεσόντες] περιπεσόντων t πεσόντες. E.

ἐπώκειλαν] Codices Wetft. et Birch. praeftantiores, ἐπέκειλαν, ἐπέκηλαν. Sed haec monftra funt. Vulgatum aliquis meorum in marg. explicat, ἐπανεπαύσαντο, ὥρμισαν, ἀνεκάθισαν. v. Alciphr. p. 40.

ἔμεινεν] ἔμενεν. E. Recte quidem.

42. διαφύγοι] διαφύγῃ.

τοὺς δυναμένους κολυμβᾶν, ἀποῤῥίψαντας
44. πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι· καὶ τοὺς
λοιποὺς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί
τινων τῶν ἀπὸ τοῦ πλοίου· καὶ οὕτως ἐγέ-
νετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.
XXVIII, Καὶ [Ἀρχή.] διασωθέντες, τότε ἐπέγνωσαν,
ΝΓ. 1. ὅτι μελίτη ἡ νῆσος καλεῖται. [Τέλος.] Τέλος τῆς ς.
2. οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν
φιλανθρωπίαν ἡμῖν. ἀνάψαντες γὰρ πυρὰν,
προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν
3. τὸν ἐφεςῶτα, καὶ διὰ τὸ ψύχος. συςρέ-
ψαντος δὲ τοῦ παύλου φρυγάνων πλῆθος,
καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἐκ
τῆς θέρμης * διεξελθοῦσα καθῆψε τῆς χει-
4. ρὸς αὐτοῦ. ὡς δὲ εἶδον οἱ βάρβαροι κρε-
μάμε-

XXVIII, 1. ΝΓ. σαββάτῳ τῆς ζ. ἑβδ. ἤτοι πρὸ τῆς πεντηκοστῆς· ἰ. τ. ἡ. ἑ. διασωθέντες οἱ περὶ τὸν παῦλον ἐκ τοῦ πλοὸς, τότε ἐπέγνωσαν.

43. ἀποῤῥίψαντας] intellige ἑαυτοὺς εἰς τὴν θάλασσαν.

XXVIII. 1. καὶ διασωθ. κ. τ. λ.] διασωθ. δὲ ἔγνωσαν, ὅτι μελίτη. E. Damasc. II, 707.

2. ἡμῖν] — E. Damasc. l. l. Praetermittit autem verſ. 3—6.

ἀνάψαντες] ἅψαντες. E.

3. φρυγάνων] + τι. E.

ἐκ τῆς] ἀπὸ τῆς. E.

ἐξελθοῦσα] διεξελθοῦσα. Ita et Chryſ. IX, 404. d. ſed 405. a. ἐξελθοῦσα.

καθῆψε] καθήψατο. E. Sic Chryſ. 404. d. ac deinde ſuis verbis, ἅπτεται, ἥψατο. Ergo medium, quod uſitatius eſt.

μάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ,
ἔλεγον πρὸς ἀλλήλους· πάντως φονεύς ἐστιν
ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς
θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασεν. ὁ μὲν 5.
οὖν, ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ,
ἔπαθεν οὐδὲν κακόν· οἱ δὲ προσεδόκων, αὐ- 6.
τὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν
ἄφνω νεκρόν. ἐπὶ πολὺ δὲ αὐτῶν προσδο-
κώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς
αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον,
θεὸν αὐτὸν εἶναι. ἐν δὲ τοῖς περὶ τὸν τό- 7.
πον ἐκεῖνον ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς
νήσου, ὀνόματι ποπλίῳ, ὃς ἀναδεξάμενος
ἡμᾶς, τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν.
ἐγένετο δὲ τὸν πατέρα τοῦ ποπλίου πυρε 8.
τοῖς καὶ δυσεντερίᾳ συνεχόμενενον κατα-
κεῖσθαι·

4. ἐκ τῆς] κατὰ τῆς. E. Orig. II, 27. et, ἰδόντες δὲ βάρβαροι. Ingenioſe autem ex h. l. docet, *ſerpentes* in litteris ſacris non referri ad ἑρπετά, ſed ad θηρία.

5. ἀποτινάξας] ἀποτιναξάμενος. E. Quod ipſum uſitatius eſt. Philo p. 259. b. ἀποτινάττει καὶ ἀποβάλλει τὰ φύλλα, ubi ſynonymum eſt. ἀποῤῥίπτει. Alibi etiam in N. Teſt. eſt ἀποτινάξαι et ἐκτινάξαι.

ἔπαθεν] ἔπασχεν. E.

6. πίμπρασθαι] ἐμπίμπρασθαι. E.

μεταβαλλόμενοι] μεταβαλόμενοι. E.

7. ποπλίῳ] πουπλίῳ. E. Damaſc. l. l.

τρεῖς ἡμέρας] — E. Forte propter verſ. 11.

8. δυσεντερίᾳ] δυσεντερίῳ t δυσεντερίαις. E. Vulgatum Chryſ. 405. Damaſc. II, 555. qui tamen rurſus πουπλίου habet, et αὐτῷ omittit etc.

κεῖσθαι· πρὸς ὃν ὁ παῦλος εἰσελθὼν, καὶ
προσευξάμενος, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ,
9. ἰάσατο αὐτόν. τούτου οὖν γενομένου, καὶ
οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ,
10. προσήρχοντο καὶ ἐθεραπεύοντο· οἳ καὶ
πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγο-
μένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν.

ΛΘ. ὅπως ἀπὸ μελίτης εἰς ῥώμην κατήντησεν ὁ παῦλος.

11. μετὰ δὲ τρεῖς μῆνας * ἤχθημεν ἐν πλοίῳ,
παρακεχειμακότι ἐν τῇ νήσῳ, ἀλεξανδρίνῳ,
12. παρασήμῳ διοσκούροις. καὶ καταχθέντες
εἰς συρακούσας, ἐπεμείναμεν ἡμέρας τρεῖς.
13. ὅθεν περιελθόντες κατηντήσαμεν εἰς ῥήγιον,
καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου,
14. δευτεραῖοι ἤλθομεν εἰς ποτιόλους. οὗ
εὑρόντες ἀδελφοὺς, παρεκλήθημεν ἐπ᾽ αὐ-
τοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά· καὶ οὕτως εἰς
15. τὴν ῥώμην ἤλθομεν. κἀκεῖθεν οἱ ἀδελφοὶ
ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς
ἀπάντησιν ἡμῖν ἄχρις ἀππίου φόρου καὶ
τριῶν ταβερνῶν· οὓς ἰδὼν ὁ παῦλος, εὐχα-
ριςήσας

10. τὴν χρείαν] τὰς χρείας. E.

11. μῆνας] ἡμέρας. E. Vulgatum diſerte Chryſ. 405. d. bis. Iſtud ex verſ. 7.

ἀνήχθημεν] ἤχθημεν. A. Poſtea etiam in tribus reperi. Iſtud fortaſſe Chryſ. invexit l. l.

14. ἐπ᾽] παρ᾽. E.

ρισήσας τῷ θεῷ, ἔλαβε θάρσος. ὅτε δὲ 16.
ἤλθομεν ἐις ῥώμην, ὁ ἑκατόνταρχος παρέ-
δωκε τοὺς δεσμίους τῷ ςρατοπεδάρχῃ· τῷ
δὲ παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτὸν,
σὺν τῷ φυλάσσοντι αὐτὸν ςρατιώτῃ.

Μ. περὶ διαλέξεως παύλου τῆς πρὸς τοὺς ἐν ῥώμῃ ἰουδαίους.

ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκαλέσα- 17.
σθαι τὸν παῦλον τοὺς ὄντας τῶν ἰουδαίων
πρώτους· συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς
αὐτούς· ἄνδρες ἀδελφοὶ, ἐγὼ οὐδὲν ἐναντίον
ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πα-
τρῴοις, δέσμιος ἐξ ἱεροσολύμων παρεδόθην
ἐις τὰς χεῖρας τῶν ῥωμαίων· ὅιτινες ἀνα- 18.
κρίναντές με ἐβούλοντο ἀπολῦσαι, διὰ τὸ
μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν
ἐμοί. ἀντιλεγόντων δὲ τῶν ἰουδαίων, ἠναγ- 19.
κάσθην

15. θεῷ] χριςῷ. E.

16. ἤλθομεν] εἰσήλθομεν. E. Mox, ῥώμην, ἐπετράπη τῷ παύλῳ μένειν, omiſſis mediis. Chryſ. 406. b. Ergo, ut alibi, in compendium redegit. Veſtigia lectionis Codicum omnium ſervat ipſe Chryſ. 407. c. τῷ δὲ παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτόν. Omittunt etiam haec Wetſt. A. 40. Etiam B. qui ſolus cum Chryſ. habet etiam ἐπετ. τῷ παύλῳ. Ex meis Codd. nullus omnino praetermittit.

17. τὸν παῦλον] αὐτόν. E. Ita ſcilicet ſemel Chryſ. 406. b. ſed 411. a. vulgatum. Attingit etiam XI, 231.

19. ἰουδαίων] + καὶ βοώντων· αἶρε τὸν ἐχθρὸν ἡμῶν. E.

κάσθην ἐπικαλέσασθαι καίσαρα· οὐχ ὡς
τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι.
20. διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα
ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι. ἕνεκεν γὰρ
τῆς ἐλπίδος τοῦ ἰσραὴλ τὴν ἅλυσιν ταύτην
21. περίκειμαι. οἱ δὲ πρὸς αὐτὸν εἶπον· ἡμεῖς
οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ
τῆς ἰουδαίας· οὔτε παραγενόμενός τις τῶν
ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέ τι περὶ
22. σοῦ πονηρόν· ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦ-
σαι ἃ φρονεῖς. περὶ μὲν γὰρ τῆς αἱρέσεως
ταύτης γνωστόν ἐστιν ἡμῖν, ὅτι πανταχοῦ
23. ἀντιλέγεται. ταξάμενοι δὲ αὐτῷ ἡμέραν,
ἧκον

κατηγορῆσαι] + ἀλλ᾽ ἵνα σώσω τὴν ψυχήν μου ἐκ θανάτου. E. Aus tausenden zwey Lorken zur Probe vom Syret in einem Verse, die nicht einmal Wetst. D. noch Beda, noch Lucifer, kritischen Andenkens, empfehlen. Ad porcos istiusmodi nugas, quae ad turbandos et infamandos libros sacros excogitatae sunt. v. Griesb. Eorum, qui id nondum ex edit. Wetst. didicerunt, profecto miseret. Propositum erat, hic ante oculos ponere vesanas corruptiones Syr. Cod. D. et Codd. quorundam, Patrumque Latinorum, quibus hic liber contaminatus est. Sed earum multitudo me deterruit Ex Beda colligere licet, eas provenisse ex istis sic dictis *Post Illa*. Referantur ergo ad recensionem *Postillatem*. Nam istas corruptiones a nemine critico adhuc probatas esse, coeci etiam, manibus palpando, deprehendunt.

22. περὶ μὲν] μὲν — E. Ath. II, 362. sed ibi rectius omittebatur.

ἧκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες·
οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασι-
λείαν τοῦ θεοῦ, πείθων τε αὐτοὺς τὰ περὶ
τοῦ ἰησοῦ, ἀπό τε τοῦ νόμου μωυσέως καὶ
τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας.
καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ 24.
ἠπίςουν. ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλή- 25.
λους, ἀπελύοντο, εἰπόντος τοῦ παύλου
ῥῆμα ἕν, ὅτι καλῶς τὸ πνεῦμα τὸ ἅγιον
ἐλάλησε διὰ ἠσαΐου τοῦ προφήτου πρὸς
τοὺς πατέρας ἡμῶν, λέγον· πορεύθητι 26.
πρὸς τὸν λαὸν τοῦτον, καὶ * εἰπέν· ἀκοῇ
ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέπον-
τες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη 27.
γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς
ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς
αὐτῶν ἐκάμμυσαν· μήποτε ἴδωσι τοῖς ὀ-
φθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ
καρ-

23. ἧκον — ξενίαν] ἦλθον εἰς τὴν ξενίαν πρὸς αὐτόν. E.
τὰ περὶ] τὰ — E.

25. πρὸς ἀλλήλους] ἀλλήλοις. E. Cyrill. V, a. 669. Haec et quae deinceps adduntur, cum aliqua varietate habet Basil. M. I, 301. 518. bis, ex Iesaia et Actibus. Variat etiam Ath. II, 7.
ἡμῶν] ὑμῶν. E. Cyrill. l. l.

26. εἰπὲ] εἰπέν. Cyrill. l. l. Nec aliter editum in Iesaiae loco apud eundem III, 109. e. Atque ita exhibetur etiam in plerisque Codd. et apud Chrys. IX, 412. b. Sic et Basil. M. l. l. Dedi tamen ad regulas grammaticorum εἰπέν.

27. ὠσὶ] ὠσὶν αὐτῶν. E.

καρδίᾳ συνῶσι καὶ ἐπιςρέψωσι, καὶ * ἰάσο-
28. μαι αὐτούς. γνωςὸν οὖν ἔςω ὑμῖν, ὅτι
τοῖς ἔθνεσιν ἀπεςάλη τὸ σωτήριον τοῦ
29. θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. καὶ ταῦτα
αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ ἰουδαῖοι, πολ-
30. λὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. ἔμεινε
δὲ ὁ παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώμα-
τι· καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευο-
31. μένους πρὸς αὐτόν· κηρύσσων τὴν βασι-
λείαν τοῦ θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ
κυρίου ἰησοῦ χριςοῦ μετὰ πάσης παῤῥησίας
ἀκωλύτως. [Τέλος.] Τέλος τοῦ σαββάτου.

ἰάσωμαι] ἰάσομαι.

28. ἀπεςάλη] + τοῦτο. E. Chryſ. habet et omittit. IX, 412. d. 414. b.

29. — E. Ex meis nullus omnino praetermittit, niſi unus Latinus, quem in priore editione conſulueram. Habet etiam Chryſ. 412. et alii.

30. ὁ παῦλος] — E.

διετίαν] τριετίαν. E. Meus l. ſolus.

31. χριςοῦ] — E.

ἀκωλύτως] Quae hic ab aliquibus Latiniſtis et Syro temere addantur, diſcitur ex Wetſt. P. Chryſ. IX, 414. d. diſerte habet: μέχρι τούτων τὸν λόγον ἵςησιν ὁ συγγραφεύς.

Καθο-

Καθολικὴ
Ἐπιστολὴ Ἰακώβου.

Α. περὶ ὑπομονῆς καὶ πίστεως ἀδιακρίτου, καὶ περὶ ταπεινοφροσύνης πρὸς τοὺς πλουσίους· ἐν ᾧ περὶ τῆς ἐν ἡμῖν πυρώσεως, καὶ τῶν ἐξ αὐτῆς παθῶν, ὅτι οὐ παρὰ θεοῦ τὸ αἴτιον. εἴ τι γὰρ ἀγαθὸν ἡμῖν, παρ᾽ αὐτοῦ.

[Ἀρχή.] Ἰάκωβος θεοῦ καὶ κυρίου Ἰησοῦ I, 1. A.
χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς, * ταῖς ἐν

I, 1. A. τῇ δ. τῆς λα. ἑβδ. ἰάκωβος θεοῦ.

I, 1. De epistt. catholl. vide praeter alios Montf. ad Chryf VI, 308. feqq. 416. 430. et P. p. 8. 9. Nos plerorumque Codd. auctoritate epistolam Iacobi fex capitibus diftinximus. Apud Pfeudo-Oecumen. VII. numerantur. In uno Codice XIII. adeo reperi. Etsi crisis epistolarum catholicarum valde impedita est, tamen in his epistolis nondum eiusmodi Codices reperti funt, ut in evangeliis, actibus et epistolis Paulinis, qui data opera a falsariis corrupti funt, et ex quibus Semlerus ac poft eum Griesbachius *fuas* Alexandrinas et occidentales *recenfiones* eruerunt. Eandem fortunam experta quoque eft Apocalypfis, quae fere ex Andrea et Aretha, paucisque aliis corrupta eft. Aut ergo iftorum falfariorum fraus et audacia aliquo cafu impedita eft, aut ita molefta et laboriofa opera fatigati funt, aut corruptionum ἀφορμαὶ in his libris eis defuerunt. Omnes enim, qui Patres Graecos legerunt, cognitum habent, epifto-

2. ἐν τῇ διασπορᾷ, χαίρειν. πᾶσαν χαρὰν
ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς
3. περιπέσητε ποικίλοις· γινώσκοντες, ὅτι τὸ
δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται
4. ὑπομονήν· ἡ δὲ ὑπομονὴ ἔργον τέλειον
ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν
5. μηδενὶ λειπόμενοι. εἰ δέ τις ὑμῶν λείπε-
ται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος
Θεοῦ πᾶσιν ἁπλῶς, καὶ * οὐκ ὀνειδίζοντος,
6. καὶ δοθήσεται αὐτῷ. αἰτείτω δὲ ἐν πίστει,
μηδὲν διακρινόμενος. ὁ γὰρ διακρινόμενος
ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ
7. ῥιπιζομένῳ. μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος
ἐκεῖνος, ὅτι λήψεταί τι παρὰ τοῦ κυρίου.
8. ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις
ταῖς

epiſtolas catholicas et apocalypſin rariſſime ab iis laudari. Ergo ex Patribus Graecis diſcrepantes lectiones, ab eorum incogitantia, negligentia, audacia et levitate ortae, repeti non poterant.

Ἰάκωβος — δοῦλος] Cyrill. I, g. 222. Ad χαίρειν. V, a. 300. Mox vitioſe omittit ταῖς, ante ἐν, edit. Gregor.

3. τῆς πίστεως] — E.

5. σοφίας] σοφίαν. E. Cyrill. V, a. 387.

καὶ μὴ] καὶ οὐκ. Vulg. Cyrill. l. l. Baſil. M. II, 576.

6. — 8. Chryſ. V, 127. Mox Theophyl. ῥαπιζομένῳ. Male! Theophyl. in his catholl. epiſtt. ubique notat edit. Venet. III, 319. ſeqq.

7. 8. Cyrill. IV, 806.

8. ἀνὴρ] + γάρ. E. Cyrill. IV, 806. et in fine αὐτοῦ.

ἐπεὶ

ταῖς ὁδοῖς αὐτοῦ. καυχάσθω δὲ ὁ ἀδελ- 9.
φὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ· ὁ δὲ 10.
πλούσιος, ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι ὡς
ἄνθος χόρτου παρελεύσεται. ἀνέτειλε 11.
γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε
τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε,
καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ
ἀπώλετο· οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς
πορείαις αὐτοῦ μαρανθήσεται. μακάριος 12.
ἀνὴρ

ἐπεὶ καὶ ἀνὴρ δίψ. — ὁδοῖς ἑαυτοῦ. 533. ὁ γὰρ δίψ. ἀνὴρ — αὐτοῦ. VI, a. 186. ἀκατάστατος γὰρ ὁ δίψ. ἐν — αὐτοῦ. Ut ego edidi, Codd. et Damasc. II, 448. De αὐτοῦ et αὑτοῦ v. P. Hoc loco nec cum haereticis, nec cum ullo alio est disputatio. In huiusmodi locis tirones discant crisin. Nemo hic tam temerarius fuit, ut aliquid auctore Cyrillo contra Codd. mutaret. Simul vero discitur, quam diligenter Cyrillum notarit Wetst. Scilicet primum tantum locum. Ergo et Griesb. v. vers. 14. 17. ubi rursus Cyrillus commendat suum γάρ. Ibi nihil notavit Griesbachius? Cur? Quia Wetstenius nihil notaverat.

9. δὲ] — E. Damasc. II, 566. et Cyrill. I, a 435. Scilicet ibi rectius abest. Mox ibid. ex vers. 10. παρελεύσεται γὰρ καὶ ἐν ἴσῳ πόαις, καὶ ἀνθέων διοίσει τῶν ἐν ἀγροῖς κατ' οὐδένα τρόπον. Servat δέ. III, 535. sed: αὐτοῦ, ὡς ἄνθος γὰρ χόρτου παρελεύσεται.

10. ἄνθος χόρτου] Attingit Clem. Alex. 540. nisi respiciat 1. Petr. 1, 24.

11. οὕτω καὶ] de οὕτω et οὕτως in universum monitum in P.

πορείαις] πορίαις. E. Scilicet in hoc et in similibus vocabulis scribae confundunt ει et ι. Erasmi animad-

ἀνὴρ, ὃς ὑπομένει πειρασμόν· ὅτι δόκιμος
γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς,
ὃν ἐπηγγείλατο ὁ κύριος τοῖς ἀγαπῶσιν
13. αὐτόν. μηδεὶς πειραζόμενος λεγέτω, ὅτι
ἀπὸ * θεοῦ πειράζομαι. ὁ γὰρ θεὸς ἀπεί-
ραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα.
14. ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυ-
15. μίας ἐξελκόμενος καὶ δελεαζόμενος. εἶτα
ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν·
ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει
θάνα-

animadversio absurda et linguae graecae contraria est. Non dicitur πορία, ἡ, sed ἐμπορία. Simile est vers. 8. ὁδοῖς. Iacobus Christi fuit discipulus, non Isocratis. Inepte vero vulgatus reddidit, *itineribus*.

12. πειρασμὸν] πειρασμούς. E. Sic et non nulli 2. Petr. 2, 10. Scilicet rectius in eiusmodi pluralis adhibetur.

ὁ κύριος] ὁ θεός. E.

13. ἀπὸ τοῦ θεοῦ] ὑπὸ θεοῦ. E. ἀπὸ θεοῦ. Damasc. II, 316. Cyrill. I, a. 10. 539. ad fin. vers. 15. Ita et IV, 431. sed in fine, κύει θάνατον.

ὁ — κακῶν] Orig. II, 124.

14. δὲ] γάρ. E. Cyrill. II, 51. ubi rectius est γάρ. Repugnant ceteri loci Cyrilli hic laudati. Ibid. est ἀποκύει, ut Damasc. II, 336.

15. ἀποκύει] κύει t ἀποκυεῖ. E. Vulgat. Ath. I, 647. Dicitur tam κύω, quam κυέω. Chrys. XI, 152. e. habet κύουσαν et κυήσασαν. Apud Orig. III, 449. c. d. 451. c. ter est κύειν. ἀποκύειν apud Theodoret. ad Heb. p. 609. Clem. Alex. p. 498. 499. Nullus tamen huc respicit. v. vers. 13. et P. ad h. l.

θάνατον. μὴ πλανᾶσθε, ἀδελφοί μου 16.
ἀγαπητοί. πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν 17.
δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον
ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ
ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα.
βουλη-

16. μὴ] + οὖν E. Ex ſolo A. hic oſtentat οὖν Griesb. Cur non ex eodem ſolo verſ. 5. oſtentavit τοῦ θεοῦ τοῦ διδόντος; v. Cyrill. V, a. 361. V, d. 76.

17. πᾶσα] + γὰρ t μὲν t δέ. E. Cyrill. I, a. 404. et III, 311. γάρ. ſed μέν. I, g. 205. δὲ vero V, d. 98. Nihil addit. V, a. 411. 494. 510. Nihil omnino mutat Damaſc. II, 721.

τέλειον] ἀγαθὸν καὶ πᾶσα εὐλογία — καταβαίνουσα ἀπὸ τοῦ πατ. Quin etiam repetit εὐλογίαν. E. Cyrill. I, a. 404. Quid hic notatum ex Cyrill?

καταβαῖνον] κατερχόμενον. E. Synonymum, ſcribarum graecorum levitate invectum, vel etiam ex ſcholio, aut ex 3, 15.

ἀπὸ τοῦ πατρὸς] παρὰ τοῦ πατρὸς t ἐκ τοῦ πατρός. E. ἐκ Ath. II, 329. Cyrill. V, a. 361. V, d. 76. I, g. 205. V, a. 494. ἀπὸ habet V, a. 411. 510. παρά. V, d. 98. ubi πατρὸς explicat θεοῦ. IV, 1. III, 311. Oecum. II, 447. ἄνωθεν ἐκ τοῦ πατρὸς τῶν φώτων ἐστὶν, παρ'. Sic et ibid. in ſchol.

οὐκ ἔνι] οὐκ ἔστι. E. Vulgatum Cyrill. V, a. 411. ſed ἔστι 458. 494.

τροπῆς] Haec Cyrill. VI, a. 132. Chriſto ita accommodat: καὶ τροπῆς οὐκ εἶδεν, (immo οἶδεν.) ἀποσκίασμα παθεῖν. Hunc verſ. attingit etiam Chryſ. II, 603. Coecus ſit neceſſe eſt, qui in bis ſeptendecim verſibus cum Griesbacho non agnoverit vel ex Cyrillo ſolo tres, quatuorve diverſas recen-

18. βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας,
εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ
κτισμάτων. [Τέλος.] Τέλος τῆς δ.

B. περὶ πραΰτητος καὶ ἁγνείας καὶ πράξεως ἀγαθῆς, μεταδοτικῆς ἐπὶ μακαρισμῷ, καὶ περὶ ἐπισήμως καὶ συμμετρίας λόγου.

B. 19. ὥστε, [Ἀρχή.] ἀδελφοί μου ἀγαπητοὶ, ἔστω
πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βρα-
20. δὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν· ὀργὴ
γὰρ

I, 19. B. τῇ ι. τῆς λα. ἑβδ. ἀδελφοί μου ἀγαπητοί, recensiones. Sed Griesbachus hic ipse coecus fuit, qui septem Cyrilli volumina *in forma maxima* non vidit. Cum apud Augustinum legatur, *momenti*, homines ingeniosi excogitarunt, ῥοπῆς. Quid, si τροπῆς ita reddidit? Nam 1. Cor. 15, 52. ἐν ἀτόμῳ reddidit etiam, *in momento*, neglecta propria vocis notione. Quid sit ῥοπὴ, apud scriptores graecos, quidque apud Patres graecos sit, θεία ῥοπὴ, notum est. Ex alio Latinista laudatur: *modicum obumbrationis*, quod tamen nemo graece reddidit. v. Sabat. Ergone *modicum* et *obumbratio* sunt variae lectiones? Ita locis fere innumerabilibus Griesbachius Latinistarum nugas pro variis lectionibus hominibus simplicibus obtrusit, scilicet, ut, quantum in ipso esset, dubia redderet omnia. Quid hoc versu legendum sit, docent incontaminati Codices graeci.

18. βουληθεὶς] βουληθεὶς γὰρ t αὐτὸς βουληθεὶς t αὐτὸς γὰρ βουληθεὶς. E. Vinciendae orationis caussa. Secundum habet Theophyl. Cyrill. V, a. 367. solum τινα omittit. Damasc. II, 310. solum ἑαυτοῦ mutat. Ath. I, 483. II, 426. vulgatum.

19. ὥστε] ἴστε t ἴστε δὲ t — E. Damasc. II, 420. ab ἔστω ad λαλῆσαι, sine varietate. Nullus bonus Codex hic quicquam mutat.

γὰρ ἀνδρὸς δικαιοσύνην θεοῦ οὐ κατερ-
γάζεται. διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν 21.
καὶ περισσείαν κακίας, ἐν πραΰτητι δέξα-
σθε τὸν ἔμφυτον λόγον τὸν δυνάμενον σῶ-
σαι τὰς ψυχὰς ὑμῶν. γίνεσθε δὲ ποιη- 22.
ταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταὶ, παρα-
λογιζόμενοι ἑαυτούς. ὅτι εἴ τις ἀκροατὴς 23.
λόγου ἐστὶ, καὶ οὐ ποιητὴς, οὗτος ἔοικεν ἀν-
δρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως
αὐτοῦ ἐν ἐσόπτρῳ. κατενόησε γὰρ ἑαυ- 24.
τὸν, καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθε-
το, ὁποῖος ἦν. ὁ δὲ παρακύψας εἰς νόμον 25.
τέλειον, τὸν τῆς ἐλευθερίας, καὶ παραμεί-
νας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γε-
νόμενος,

20. οὐ κατεργάζεται] οὐκ ἐργάζεται. E. Sic Damasc. II, 651. Illud diserte Theophyl. 327. Scribae alibi etiam οὐ κατ. mutarunt in οὐκ. Hic praeterea non opus erat composito. Vulgatum cum aliis Ath. I, 647. II, 323. 629.

21. πραΰτητι] πραότητι t πραΰτητι καρδίας. E. Sic Theophyl. et mox, τὸν μέν.

ψυχὰς ὑμῶν] ψυχὰς ἡμῶν. E.

22. λόγου] νόμου. E. Ex verſ. 25. Ita Theoph. Idem, ἀκροαταὶ μόνον, mox omiſſo, παραλ. ἑαυτ., quae tamen refert 328. a. Et hic, et verſ. 23. νόμου. Damaſc. II, 457. Idem verſ. 24. κατενόησε — ἀπελήλυθε omittit.

23. λόγου] νόμου. E.

25. νόμον] λόγον. E.

παραμείνας, οὗτος] παραμείνας οὕτως t, οὗτος — E.

ἐπιλησμονῆς] ἐπιλήσμων. E. v. P.

νόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μα-
26. κάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσαι. εἴ τις
δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν, μὴ χαλιναγω-
γῶν γλῶσσαν αὐτοῦ, ἀλλ' ἀπατῶν καρδίαν
27. αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία. θρη-
σκεία καθαρὰ καὶ ἀμίαντος παρὰ * θεῷ
καὶ πατρὶ, αὕτη ἐςὶν, ἐπισκέπτεσθαι ὀρφα-
νοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπι-
λον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.
[Τέλος.] Τέλος τῆς ι.

Γ. περὶ τῆς πρὸς ἕκαςον ἀγάπης ἀπροσωπολήπτου κατὰ νόμον.

Γ. II, 1. [Ἀρχή.] Ἀδελφοί μου, μὴ ἐν προσωπολη-
ψίαις ἔχετε τὴν πίςιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριςοῦ

II, 1. Γ. τῇ ς. τῆς λα. ἑβδ. ἀδελφοὶ, μὴ ἐν προσωποληψίαις.

26. θρῆσκος] alii θρησκός. v. P. Laudat Cyrill. IV, 295. ubi vitiose est καρδίας. Mox aliqui omittunt, ἐν ὑμῖν. Scholia Oec. nec pro, nec contra ἐν ὑμῖν sunt. Fortasse tamen ineptum πιςὸς, loco θρῆσκος, scriba levis ex iis sumsit. v. Griesb.

χαλιναγωγῶν] χαλινῶν. Sic Vat. 1209. seu B. Laudo!

27. παρὰ τῷ θεῷ] τῷ —. Sic. Sed ταπεινώσει, loco θλίψει, et, καὶ ἄσπιλον. Cyrill. III, 267. Idem V, b. 7. νηςεία καθαρὰ — sed θλίψει, et omisso καὶ, ante ἄσπ. Nonne hic νηςεία et ταπείνωσις notanda erant? Sed sibi ipse repugnat Cyrill. in utroque. v. Damasc. II, 626. et Nilum in caten. Niceph. II, 760.

II, 1. Laudat Cyrill. V, a. 300. 374. 603. 753. ubi μου omit-

χριστοῦ τῆς δόξης. ἐὰν γὰρ εἰσέλθῃ εἰς 2.
τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος,
ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς
ἐν ῥυπαρᾷ ἐσθῆτι, καὶ ἐπιβλέψητε ἐπὶ 3.
τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν,
καὶ εἴπητε αὐτῷ· σὺ κάθου ὧδε καλῶς·
καὶ τῷ πτωχῷ εἴπητε· σὺ στῆθι ἐκεῖ, ἢ
κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν μου. καὶ 4.
οὐ διεκρίθητε ἐν ἑαυτοῖς, καὶ ἐγένεσθε κρι-
ταὶ διαλογισμῶν πονηρῶν; ἀκούσατε, 5.
ἀδελφοί μου ἀγαπητοὶ, οὐχ ὁ θεὸς ἐξελέ-
ξατο τοὺς πτωχοὺς τοῦ κόσμου, * πλου-
σίους ἐν πίστει, καὶ κληρονόμους τῆς βασι-
λείας, ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐ-
τόν; ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν. 6.
οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν,
καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια;
οὐκ

omittit, τῆς δόξης tamen, quod infimus Cod. Wetst. 13. excludit, servat.

2. ἐὰν γὰρ] ὑποκριταί. ἐὰν γάρ. E. Cyrill. IV. 344. Ibid. pro arbitrio laudat vers. 3. 4.

3. καὶ ἐπιβλ.] ἐπιβλ. δέ. E. Theophyl. Idem αὐτῷ post εἴπητε omittit. Cum Codd. Wetst. A. C. 13. hoc versu consentit meus 13. quem postea comparavi, quique in his epist. meorum omnium est infimus.

4. καὶ οὐ] καὶ — E. καὶ, παρέλκει. Theophyl. 330. et Oec. II, 453. Ergo deletum.

5. τοῦ κόσμου τούτου] τούτου —. Mox, ἐν τῇ πίστει Theophyl.

7. οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα
8. τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς; εἰ μέντοι νόμον
τελεῖτε βασιλικὸν κατὰ τὴν γραφήν·
ἀγαπήσεις τὸν πλησίον σου, ὡς * ἑαυτόν·
9. καλῶς ποιεῖτε· εἰ δὲ προσωποληπτεῖτε,
ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ
10. νόμου, ὡς παραβάται. ὅστις γὰρ ὅλον
τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνὶ, γέγονε
11. πάντων ἔνοχος. ὁ γὰρ εἰπών· μὴ μοιχεύ-
σῃς, εἶπε καί· μὴ φονεύσῃς· εἰ δὲ οὐ μοι-
χεύσεις, φονεύσεις δὲ, γέγονας παραβάτης
12. νόμου. οὕτω λαλεῖτε καὶ οὕτω ποιεῖτε,
ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνε-
13. σθαι. ἡ γὰρ κρίσις ἀνίλεως τῷ μὴ
ποιήσαντι ἔλεος· * κατακαυχᾷ τε ἔλεος
κρίσεως. [Τέλος.] Τέλος τῆς ϛ.

Δ.

7. ἐπικληθὲν] κληθέν. E. Theophyl., qui etiam, loco καλὸν, explicat καινόν. Ex Ies. 65, 15.

8. ὡς σεαυτὸν] ὡς ἑαυτόν. Ita postea in quatuor inveni et apud Theophyl. Σ temere repetitum.

10. τηρήσει, πταίσει] πληρώσει, πταίσει t τηρήσῃ, πταίσῃ. E. Posterius Theophyl. Cyrill. I, a. 552. ὅταν γὰρ ὅλον τὸν νόμον τελέσῃ τις, πταίσῃ ad fin. vers. 11. Negligenter laudat Orig. II. 798. et Basil. M. II, 631.

13. ἀνίλεως] ἀνήλεος t ἀνέλεος. E. Haec ex proximo ἔλεος ficta videntur. ἵλεως alibi etiam est in N. T. Ἀνίλεως Cyrill. V, b. 149. ἀνέλεος Damasc. II, 484.

καὶ κατακαυχᾶται] Unice vera lectio videtur, κατακαυχᾷ τε, confuso activo et medio. Sic e. c.

Luc.

Δ. ὅτι οὐκ ἐκ πίστεως μόνον, ἀλλὰ καὶ ἐξ ἔργων, καὶ οὐκ ἐκ θατέρου ἰδικῶς, ἀλλ᾽ ἐξ ἀμφοῖν ἅμα δικαιοῦται ἄνθρωπος.

['Αρχή.] τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν 14. Δ.
πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; μὴ
δύνα-

II, 14. Δ. τῇ β. τῆς λβ. ἑβδ. ἀδελφοί, τι τὸ ὄφελος, ἐὰν πίστιν.

Luc. 1, 47. eſt ἠγαλλίασε, loco ἠγαλλιάσατο. Matth. 10, 14. et Marc. 6, 11. ἐκτινάξατε. Hebr. 4, 10. κατέπαυσε, loco ἀνεπαύσατο. Gal. 4, 9. ἐπιστρέφετε, loco ἐπιστρέφεσθε. Et in hac ipſa epiſtola 3, 5. μεγαλαυχεῖ, pro quo uſitatius dicitur μεγαλαυχεῖσθαι. Ἔγειρε, loco ἔγειραι, et alia praetermitto. Iam quia hoc inuſitatum videbatur, facile corrigebatur κατακαυχᾶται. Alii vero etiam ita ſcribebant ex frequenti confuſione ε et αι. Mutato vero κατακαυχᾷ τε in κατακαυχᾶται, opus erat vinculo orationis. Ergo alii exhibebant, καὶ κατακαυχᾶται, alii κατακαυχᾶται δὲ, vel etiam, κατακαυχᾶται γάρ. Sed iſtas particulas meliores Codd. non agnoſcunt. Alii denique etiam ex κατακαυχᾷ τε fecerunt κατακαυχᾶτε. Hinc mox ἔλεον, loco ἔλεος ortum. ὁ et τὸ ἔλεος invenitur: ſed τὸ ἔλεον equidem nullibi reperi. Cyrill. I, a. 248. κατακαυχᾶται γὰρ ἔλεος κρίσεως. V, b. 149. καὶ κατακαυχᾶται ἔλεος κρίσεως. Damaſc. II, 475. κατακαυχᾶται ἔλεος κρίσεως. Theophyl. 331. καὶ κατακαυχᾶται ἔλεος. Sed in ſchol. 332. ἀνηλεῶς ἡ κρίσις ἀπαντήσεται· κατακαυχᾶται δὲ ἔλεος. v. P. Notum eſt αὐχεῖς, cuius interpretationem Kuiſt. de verb. med. p. 106. memorat καυχᾷς. Vide 1. Cor. IV, 7. in P et Montf. ad Chryſ. X, 98. nota *b*. Καυχᾷ, quod Suid. et Phavor. laudant, non eſt huius loci, quod per ſe conſtat. De activo enim quaeritur. Aliis fortaſſe hic probabitur, κατακαυχᾶταί τε. Sed huic coniecturae, quae nec mihi diſplicet, nullum accedit praeſidium a Codd.

14. v. Cyrill. V, b. 148. ad verſ. 14—16. qui ibi aliquam varietatem habet.

15. δύναται ἡ πίστις σῶσαι αὐτόν; ἐὰν δὲ
ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι, καὶ
16. λειπόμενοι ὦσι τῆς ἐφημέρου τροφῆς, εἴπῃ
δέ τις αὐτοῖς ἐξ ὑμῶν· ὑπάγετε ἐν εἰρήνῃ,
θερμαίνεσθε καὶ χορτάζεσθε· μὴ δῶτε δὲ
αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ
17. ὄφελος; οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα
18. ἔχῃ, νεκρά ἐστι καθ' ἑαυτήν. ἀλλ' ἐρεῖ
τις· σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω· δεῖξόν
μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου,
κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν
19. μου· σὺ πιστεύεις, ὅτι ὁ θεὸς εἷς ἐστι·
καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσι,
20. καὶ φρίσσουσι. θέλεις δὲ γνῶναι, ὦ ἄν-
θρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων
21. νεκρά ἐστιν; ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ
ἐξ

15. Laudat Damasc. II, 484.

17. Attingit Cyrill. III, 423. 865. V, c. 174. nisi respexerit vers. 20. 26. Chrys. II, 348.

ἐκ prius] χωρίς. E. Ita solus habet infimus meorum 13. quem post priorem editionem consului. Arguta est correctio; cui etiam repugnat interpretatio Theophyl. 333 καὶ ἔργα διπλᾶ κ. τ. λ., et Oecum II, 457. c. δύο γὰρ κ. τ. λ., qui prius, ἐκ τῶν ἔργων σου, haud dubie errore typothetae omittit.

18. ὁ θεὸς εἷς] εἷς ὁ θεός. E. Cyrill. IV, 878. mox omissis, καλῶς ποιεῖς. Ita, his servatis. 953.

19. ὁ θεὸς εἷς ἐστι] ἐστι θεός. E. Ath. II, 91.

20. Orig. IV, 318. et 306. laudat, ἐν τῇ φερομένῃ ἰακώβου ἐπιστολῇ. Ac si de ea dubitaverit.

ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας ἰσαὰκ τὸν
υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαςήριον; βλέπεις, 22.
ὅτι ἡ πίςις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ
ἐκ τῶν ἔργων ἡ πίςις ἐτελειώθη; καὶ 23.
ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· ἐπίςευσε δὲ
ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς
δικαιοσύνην, καὶ φίλος θεοῦ ἐκλήθη. ὁρᾶτε 24.
τοίνυν, ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος,
καὶ οὐκ ἐκ πίςεως μόνον; ὁμοίως δὲ καὶ 25.
ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη, ὑπο-
δεξαμένη τοὺς ἀγγέλους, καὶ ἑτέρᾳ ὁδῷ
ἐκβαλοῦσα; ὥσπερ γὰρ τὸ σῶμα χωρὶς 26.
πνεύματος νεκρόν ἐςιν, οὕτω καὶ ἡ πίςις
Τέλος τῆς β. χωρὶς τῶν ἔργων νεκρά ἐςι. [Τέλος.]

E. ὅτι ἡ προπετὴς καὶ ἄτακτος γλῶσσα θανατοῖ τὸν κεκτημένον, ἧς κρατεῖν ἀνάγκη εἰς εὐφημίαν καὶ δόξαν τοῦ θεοῦ· ἐν ᾧ, περὶ ἀναστροφῆς καὶ ἀγαθῆς καὶ ἀμάχου πρὸς ἀλλήλους ἐκ φιλοδοξίας τῆς ἐπὶ σοφίᾳ ἀνθρωπίνῃ. περὶ θείας σοφίας. ὅτι ἐκ ἐπιθυμίας καὶ φιληδο-

21. τὸν υἱὸν αὐτοῦ] αὐτοῦ omiſſum in edit. Gregor. Editiones exhibent αὐτοῦ, Codd. αὐτοῦ.

23. ἐπίςευσε δὲ] + ὁ. E. Cyrill. IV, 537. Mox, εἰς θεὸν — δικαιοσύνην ἡ πίςις καί. In exemplo Wetſt. hic locus Cyrilli non reperitur. Ergo nec in Griesbachiano Cyrillo. Laudat et Orig. IV, 318. et Baſil. M. II, 313.

24. τοίνυν] — E. Omittit Theophyl.

25. ἀγγέλους] κατασκόπους. E. quae eſt explicatio ex Hebr. 11, 31. Igitur etiam in aliquot Codd. in marg. legitur.

26. γὰρ] δέ. E. Orig. II, 644.

Φιλαδελφίας ἔξις, καὶ ἀκαταστασία, καὶ ἡ πρὸς Θεὸν ἔχθρα γίνεται. περὶ μετανοίας πρὸς σωτηρίαν, καὶ περὶ τοῦ μὴ κρίνειν τὸν πλησίον.

C. III, 1. [Ἀρχή.] Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε,
ἀδελφοί μου, εἰδότες, ὅτι μεῖζον κρῖμα λη-
2. ψόμεθα. πολλὰ γὰρ πταίομεν ἅπαντες.
εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος
ἀνὴρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ
3. σῶμα. * ἴδε τῶν ἵππων τοὺς χαλινοὺς
εἰς τὰ στόματα βάλλομεν πρὸς τὸ πείθε-
σθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐ-
4. τῶν μετάγομεν. ἰδοὺ, καὶ τὰ πλοῖα, τη-
λικαῦτα ὄντα, καὶ ὑπὸ σκληρῶν ἀνέμων
ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου πη-
δαλίου,

III, 1. E. τῇ γ. τῆς λβ. ἑβδ. ἀδελφοὶ, μὴ πολλοὶ διδάσκαλοι.

III, 1. Sine varietate Cyrill. I, a. 122. Μου abest. Damasc. II, 679.

2. Laudat Cyrill. I, a. 504.

δυνατὸς] δυνάμενος. E. Ita Cyrill. II, 827. VI, b. 151. et Damasc. II, 420. sed ibidem ἐστι, loco ἀνὴρ, omisso καὶ ὅλον. Idem 421. ἀνὴρ et καὶ ὅλον servat. Hic autem continuat ad vers 11. Δυνάμενος Theophyl. 335. δυνατός. 336. Idem monet, τῶν ἵππων in constructione inferendum esse post στόματα.

3. ἰδοὺ] ἴδε. Alii notarunt, εἰ δὲ, quod ortum credo ex εἰδέ.

βάλλομεν] ἐμβάλλομεν. E. Cod. Aug. 6. in textu, sed in scholio vulgatum habet. Tamen semel est in schol., ἐμβάλλομεν fol. ξβ. p. 2. init. v. P.

δαλίου, ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος
βούληται. οὕτω καὶ ἡ γλῶσσα μικρὸν 5.
μέλος ἐστὶ, καὶ μεγαλαυχεῖ· ἰδοὺ, ὀλίγον
πῦρ ἡλίκην ὕλην ἀνάπτει; καὶ ἡ γλῶσσα
πῦρ, ὁ κόσμος τῆς ἀδικίας· οὕτως ἡ 6.
γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ
σπιλοῦσα ὅλον τὸ σῶμα, καὶ φλογίζουσα
τὸν τροχὸν τῆς γενέσεως, καὶ φλογιζομένη
ὑπὸ

5. ὀλίγον] ἡλίκον. E. Occuparunt aliqui ſcribae hoc ex vicino. De Chryſoſtomi loco a Wetſt. laudato adhuc dubito. In hom. 4. ad Act. T. IX, 34. e. reperio: τοσοῦτον πῦρ μυρίαν ὕλην ἀνάψαι δύναται. Sed haec non ſunt Iacobi, verum Chryſoſtomi. Gratulor Griesbacho hanc νωθρότητα, qui ſecure haec et alia plura ex Wetſt. tranſcripſit. Mihi mirum videbatur, cum Chryſoſtomum tam diligenter legiſſem. Antiochus autem ita habet in Pandect. bibl. Patr. Pariſ. T. XII. p. 67. d. De Antiochi in priore edit. Griesbachus ne verbum quidem. In noviſſima notavit *Antiochum Monachum*. Iam ergo ſciunt omnes, *quis Antiochus* intelligendus ſit.

6. οὕτως] — τ + καί. E. Disiecta eſt tota huius loci oratio. In ea ergo hic nectenda laborat Theophyl. Omnis correctio, Codicibus graecis contraria, temeraria eſt.

τροχὸν] Grotius coniicit τρόχον, *curſum*, addens: *accentus quisque addidit ſuo arbitratu.* Cum ergo ipſe etiam ſuo arbitratu hic addiderit, retineamus eum aliorum arbitratu. Sophocles Antig. p. 257. μὴ πολλοὺς ἔτι τροχοὺς ἁμιλλητῆρας ἡλίου τελῶν. Ubi ſcholiaſta: μὴ πολλοὺς ἡλίου δρόμους τελέσων, et: τροχοὺς δὲ, ἀντὶ τοῦ κύκλους, δρόμους. Anacreon ſimiliter fere IV, 7. 8. τροχὸς ἅρματος γὰρ οἷα βίοτος τρέχει κυλισθείς.

γενέσεως] Nullum nec poſtea Cod. reperi, qui habe-

7 ὑπὸ τῆς γεέννης. πᾶσα γὰρ φύσις θηρίων
τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων,
δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ
8 ἀνθρωπίνῃ· τὴν δὲ γλῶσσαν οὐδεὶς δύνα-
ται ἀνθρώπων δαμάσαι, ἀκατάσχετον κα-
9 κὸν, μεστὴ ἰοῦ θανατηφόρου; ἐν αὐτῇ
εὐλο-

haberet γεέννης. Utrumque tamen notant Oec. II, 461. Theophyl. 337. Cod. Aug. 6. in textu et in ſchol. vulgatum. Semel tamen in ſchol. exhibet γεέννης v. fol. ξβ. pag. 2. Γεέννης fortaſſe ex proximo occuparunt ſcribae. Coniici poſſit, olim lectum eſſe γένης, idque expoſitum eſſe γενέσεως, ac deinde mutatum eſſe in γεέννης. Verum Codd. contra ſunt Cyrill. VI, a. 29. ἡ γλῶσσα μὲν πῦρ καὶ ἀκατάσχετόν ἐστι κακόν. Damaſcenum ſupra laudavi. Si omnino legendum ſit γεέννης, τροχὸς iam nec *rota*, nec *curſus* erit, ſed *tormentum*. Scholium, quod Wetſt. notat ex Cod. 15. auctius et emendatius legitur in Catena MS. cuius apographum habeo. Id etſi ad Cyrillum refertur, tamen ultima eius pars eſt ex Chryſ. I, 747. a. Ex eo pendent ceteri ſcholiaſtae, cum iſta catena ſcholiis reliquis omnibus ſit vetuſtior. v. Mill. Prolegg. §. 1044. In Cyrilli ſcriptis editis nihil eiusmodi inveni, cum tamen eum totum legerim, niſi eo trahere velis VI, a. 29. ubi tamen γεέννης non reperitur. Γεέννης ergo nil niſi error ſcribarum videtur eſſe.

8. Interrogandi notam addendam eſſe, ſcholiaſtae et Theophyl. 338. monent. v. P.

τὴν δὲ] Cyrill. IV, 724. τὴν γὰρ γλ. Ex eo etiam ineptum, et Codicibus contrarium ἀκατάστατον, loco ἀκατάσχετον, refutatur. Explicat enim: δυσκαταγώνιστον. Vide etiam Damaſc. II, 380. et locum ſupra laudatum 421.

εὐλογοῦμεν τὸν Θεὸν καὶ πατέρα, καὶ ἐν
αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς
καθ' ὁμοίωσιν Θεοῦ γεγονότας. ἐκ τοῦ 10.
αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατ-
άρα. οὐ χρὴ, ἀδελφοί μου, ταῦτα οὕτω
Τέλος τῆς γ. γίνεσθαι. [Τέλος.] [Ἀρχή.] μήτι ἡ 11. 3.
πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ
καὶ τὸ πικρόν; μὴ δύναται, ἀδελφοί μου, 12.
συκῆ ἐλαίας ποιῆσαι, ἢ ἄμπελος σῦκα,
οὕτως οὐδεμία πηγὴ ἁλυκὸν καὶ γλυκὺ
ποιῆσαι ὕδωρ. τίς σοφὸς καὶ ἐπιστήμων ἐν 13.
ὑμῖν; δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ
ἔργα

III, 11. 3. τῇ δ. τῆς λβ. ἑβδ. ἀδελφοὶ, μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς.

9. Θεὸν] κύριον. E. Cyrill. II, 106. ubi etiam praetermittit: ἐκ τοῦ αὐτοῦ — κατάρα. κύριον, quod meorum omnino nullus habet, in interiore marg. probat Griesbachius. Scilicet, ut et alibi κυρίου, loco Θεοῦ, in textu probare possit. Astute!

γεγονότας] γεγεννημένους ex Damasc. immo vero ex Wetst. notat Griesb. Vide Damasc. II, 380. Sed idem 421. sicuti Cyrill. l. l. habet γεγονότας. Quid ergo ex Damasc. efficitur? Nihil. Contra sunt praeterea omnes omnino Codices probi.

12. οὕτως — γλυκὺ] οὕτως οὐδὲ ἁλυκὸν γλυκύ. E. Cyrill. II, 107. In fine vers. Theophyl. addit δύναται.

13. τίς σοφὸς] τίς — εἴ τις σοφός. E. Servat Cyrill. V, b. 190. vulgatum cum levi transpositione. Nam δειξάτος est vitiosum. Nihil omnino mutat ibid. 326. Σοφίας in fine omittit Damasc. II, 656. De Cyrillo et Damasceno hic silet Wetstenius. Ergo etiam Griesbachius. Laudo!

14. ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας. εἰ δὲ
ζῆλον πικρὸν ἔχετε καὶ ἐριθείαν ἐν τῇ καρ-
δίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύδε-
15. σθε κατὰ τῆς ἀληθείας. οὐκ ἔστιν αὕτη
ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ᾽ ἐπί-
16. γειος, ψυχική, δαιμονιώδης. ὅπου γὰρ
ζῆλος καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ
17. πᾶν φαῦλον πρᾶγμα. ἡ δὲ ἄνωθεν σοφία,
πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική,
ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρ-
πῶν ἀγαθῶν, ἀδιάκριτος καὶ ἀνυπόκριτος.

καρπὸς

14. ἐρίθειαν] Codices fere ubique variant in accentu huius vocabuli, cum alii ἐριθεία, alii ἐρίθεια exhibeant. v. P. Laudat usque ad verſ. 18. Damaſc. II, 684.

τῇ καρδίᾳ] ταῖς καρδίαις. E.

κατακαυχᾶσθε] Latiniſta: *alapamini.* Pro eo Sabat. coniicit, *elevamini.* Coniecturam eius repetiit Griesb. Ingenioſe! Forte Latiniſta ille ex ἀλαζονεύεσθαι, quod eſt ſynon. τοῦ καυχᾶσθαι, finxerat, *alazonari*, ut *plasmare* a πλάττειν, *parabolari*, a παραβάλλεσθαι. Ergo *alazonamini.* Latine!

15. αὕτη ἡ σοφία] ἡ σοφία αὕτη. E. Cyrill. V, b. 172. Theophyl.

16. Laudat Damaſc. II, 608. 717. Utroque loco omittit γὰρ, quo ibi non erat opus. Sed 684. habet γὰρ. Hic enim longiorem locum notat. Ex hoc exemplo diſcunt tirones, Patres iſtas particulas pro arbitrio modo addere, modo omittere. Interdum etiam, ſi ſermo ipſorum ita poſtulet, cum aliis permutant.

17. ἀδιάκριτος] εὐδιάκριτος. E. v. P.

καρπὸς δὲ τῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρε-
ται τοῖς ποιοῦσιν εἰρήνην. Πόθεν πόλεμοι IV, 1.
καὶ μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν, ἐκ τῶν
ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς
μέλεσιν ὑμῶν; ἐπιθυμεῖτε, καὶ οὐκ ἔχε- 2.
τε· φονεύετε καὶ ζηλοῦτε, καὶ οὐ δύνασθε
ἐπιτυχεῖν· μάχεσθε καὶ πολεμεῖτε, οὐκ
ἔχετε, * διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς. αἰτεῖ- 3.
τε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖ-
σθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε.
μοιχοὶ καὶ μοιχαλίδες, οὐκ οἴδατε, ὅτι ἡ 4.
φιλία τοῦ κόσμου, ἔχθρα τοῦ θεοῦ ἐστιν;
ὃς ἂν * βουληθῇ φίλος εἶναι τοῦ κόσμου,
ἐχθρὸς

18. δὲ τῆς] τῆς — D. Rectius abest. Omittit Damasc. II, 685. et 354. ubi etiam δὲ abest. Τῆς, id est, περὶ ἧς διαλέγομαι.

IV, 1. πόλεμοι καὶ] + πόθεν. E. Ex meis solus infimus 13. et Theophyl.

2. φονεύετε] Griesbachius: φονεῖτε Ed.' inquit. Volebat φθονεῖτε. Alii φονᾶτε. Vide Bezam ad h. l. In vulgato consentiunt omnes omnino Codd. mei. φονεύειν diserte explicatur in schol Codd. Aug. 6. Item apud Theophyl. Oecum. quanquam in huius textu est φονεῖτε, quod temere in vulgaribus et in Griesbachianis Lexicis notatur. v. P.

οὐκ ἔχετε δὲ] καὶ οὐκ ἔχετε. E. δὲ —. v. P. Ita postea in tribus reperi. καὶ et δὲ frustra addita. Parum curat Jacobus ista vincula orationis. Sic mox vers. 4. Codices excludunt οὖν.

3. αἰτεῖσθε] αἰτεῖτε. E. Cyrill. I, a. 472. IV, 805. sed αἰτεῖσθε IV, 82. ubi tamen est ὅτι, loco διότι.

4. ὃς ἂν οὖν] οὖν —. Cyrill. III, 822. εἴ τις θέλει εἶ-

5. ἐχθρὸς τοῦ θεοῦ καθίσαται. ἢ δοκεῖτε,
